MASTER
NEGATIVE
NO. 91-80391-11

MICROFILMED 1991

COLUMBIA UNIVERSITY LIBRARIES/NEW YORK

as part of the
"Foundations of Western Civilization Preservation Project"

Funded by the
NATIONAL ENDOWMENT FOR THE HUMANITIES

Reproductions may not be made without permission from
Columbia University Library

COPYRIGHT STATEMENT

The copyright law of the United States -- Title 17, United States Code -- concerns the making of photocopies or other reproductions of copyrighted material...

Columbia University Library reserves the right to refuse to accept a copy order if, in its judgement, fulfillment of the order would involve violation of the copyright law.

AUTHOR:

GEORGII, ADOLF

TITLE:

SINN- UND SITTENSPRUCHE AUS DICHTERN...

PLACE:

NEUSTADT A.D.H.

DATE:

1891-92

Master Negative #

91-80391-11

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

880
Z8
v.5

Georgii, Adolf,
Sinn- und sittensprüche aus dichtern des griechischen altertums, gesammelt und geordnet von Adolf Georgii... Neustadt a.d.H., Kranzbühler, 1891-92.
2 pts. in 1 v. 22 cm.

Programm der K. Studienanstalt zu Neustadt a.d.H., 1890-91, 1891-92.

Volume of pamphlets

125157

Restrictions on Use:

TECHNICAL MICROFORM DATA

FILM SIZE: 35mm REDUCTION RATIO: 11
IMAGE PLACEMENT: IA (IIA) IB IIB
DATE FILMED: 12-30-91 INITIALS M.B.
FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT



Association for Information and Image Management

1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910

301/587-8202



Centimeter

Inches







MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.

U
Z8
80

880 Z8
Columbia University 5
in the City of New York
LIBRARY

5669
1 20. pt. 1
no 1

Sinn- und Sittensprüche

aus

Dichtern

des

griechischen Altertums,

gesammelt und geordnet

von

ADOLF GEORGII,
K. Studienlehrer.

Erster Teil.

PROGRAMM
der
K. Studienanstalt zu Neustadt a. d. H.
für
das Schuljahr 1890/91.

Neustadt a. d. H.
Buchdruckerei von W. Kranzbühler.
1891.

880
18
v. 5

I. Adel.

1. Πολλοὶ γὰρ ὄντες εὐγενεῖς εἰσιν κακοί. Eur. El. 551.

2. Δεινὸς χαρακτὴρ καπίσγμος ἐν βροτοῖς
ἐσθλῶν γενέσθαι, καπὶ μεῖζον ἔρχεται
τῆς εὐγενείας ὄνομα τοῖσιν ἀξίοις. Eur. Hec. 379.

3. Εἰς δ' εὐγένειαν ὀλίγ' ἔχω φράσαι καλά·
ὁ μὲν γὰρ ἐσθλὸς εὐγενὴς ἔμοιγ' ἀνήρ,
ὁ δ' οὐ δίκαιος κἂν ἀμείνονος πατρὸς
Ζηνὸς πεφύκῃ, δυσγενὴς εἶναι δοκεῖ. Eur. fr. 336.

4. Γένους δ' ἔπαινός ἐστιν ἀσφαλέστατος
κατ' ἄνδρ' ἐπαινεῖν ὅστις ἂν δίκαιος ἦ
τρόπους τ' ἄριστος, τοῦτον εὐγενῆ καλεῖν. Astydamantes fr. 8.

II. Alter.

5. Ἀεὶ γὰρ ἡβᾷ τοῖς γέρουσιν εὖ μαθεῖν. Aesch. Ag. 584.

6. Τοῦ ζῆν γὰρ οὐδεὶς ὡς ὁ γηράσκων ἐρᾷ. Soph. fr. 63.

7. Πάλιν γὰρ αὖθις παῖς ὁ γηράσκων ἀνήρ. Soph. fr. 447.

8. Γῆρας διδάσκει πάντα καὶ χρόνου τριβή. Soph. fr. 603.

9. Πάντ' ἐμπέφυκε τῷ μακρῷ γήρᾳ κακά·
νοῦς φροῦδος, ἔργ' ἀχρεῖα, φροντίδες κακαί. Soph. fr. 863.

10. Μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν,
γῆρας ψέγοντες καὶ μακρὸν χρόνον βίου·
ἦν δ' ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς βούλεται
θνήσκειν, τὸ γῆρας δ' οὐκέτ' ἔστ' αὐτοῖς βαρύ. Eur. Alc. 669.

11. Ἀνείμενόν τι χρῆμα πρεσβυτῶν γένος
καὶ δυσφύλακτον ὀξυθυμίας ὕπο. Eur. Andr. 727.

12. Ὦ δυσπάλαιστον γῆρας, ὡς μισῶ σ' ἔχων.
μισῶ δ' ὅσοι χρήζουσιν ἐκτείνειν βίον,
βρωτοῖσι καὶ ποτοῖσι καὶ μαγεύμασι
παρεκτρέποντες ὀχετὸν ὥστε μὴ θανεῖν·
οὓς χρήν, ἐπειδὰν μηδὲν ὠφελῶσι γῆν,
θανόντας ἔρρειν κἀκποδὼν εἶναι νέοις. Eur. Suppl. 1108.

13. Φεῦ φεῦ, παλαιὸς αἶνος ὡς καλῶς ἔχει·
γέροντες οὐδὲν ἐσμεν ἄλλο πλὴν ὄχλος
καὶ σχῆμ', ὀνείρων δ' ἔρπομεν μιμήματα·
νοῦς δ' οὐκ ἔνεστιν, οἰόμεσθα δ' εὖ φρονεῖν. Eur. fr. 25.

14. Ὅστις δὲ θνητῶν βούλεται δυσώνυμον
εἰς γῆρας ἐλθεῖν, οὐ λογίζεται καλῶς·
μακρὸς γὰρ αἰὼν μυρίους τίκτει πόνους. Eur. fr. 575.

15. Ὦ γῆρας, οἵαν ἐλπίδ' ἡδονῆς ἔχεις,
καὶ πᾶς τις εἰς σὲ βούλεται βροτῶν μολεῖν·
λαβὼν δὲ πεῖραν, μεταμέλειαν λαμβάνει,
ὡς οὐδέν ἐστι χεῖρον ἐν θνητῷ γένει. Eur. fr. 1080.

16. Πόλλ' ἔνεστι τῷ γήρᾳ κακά. Ar. Vesp. 441.

17. Ὦ γῆρας, ὡς ἐπαχθὲς ἀνθρώποισιν εἶ
καὶ πανταχῇ λυπηρόν, οὐ καθ' ἓν μόνον·
ἐν ᾧ γὰρ οὐδὲν δυνάμεθ' οὐδ' ἰσχύομεν,
σὺ τηνικαῦθ' ἡμᾶς προδιδάσκεις εὖ φρονεῖν.
Pherekrates (Stob. 116, 12).

18. Σοφόν γέ τοί τι πρὸς τὸ βουλεύειν ἔχει
τὸ γῆρας, ὡς δὴ πόλλ' ἰδόν τε καὶ παθόν. Antiphanes fr. 219.

19. Τὸ γῆρας ὥσπερ βωμός ἐστι τῶν κακῶν·
πάντ' ἔστ' ἰδεῖν εἰς τοῦτο καταπεφευγότα. Antiphanes fr. 255.

20. Οὗτοι τὸ γῆρας ἐστιν, ὡς οἶει, πάτερ,
τῶν φορτίων μέγιστον· ἀλλ' ὃς ἂν φέρῃ
ἀγνωμόνως αὖθ', οὗτός ἐστιν αἴτιος·
οὐδ' εὐκόλως, ἐνίοτε κομίζειν ποιεῖ
μεταλαμβάνων ἐπιδέξι' αὐτοῦ τὸν τρόπον,
λύπην τ' ἀφαιρῶν ἡδονήν τε προστιθείς,
λύπην δὲ ποιῶν, εἶτι δυσκόλως ἔχει. Anaxandrides fr. 53.

21. Οὐδέν γ' ἔοικ' ἄνθρωπος οἴνῳ τὴν φύσιν·
ὁ μὲν ἀπογηράσκων ἀηδὴς γίνεται.
οἶνον δὲ τὸν παλαιότατον σπουδάζομεν·
ὁ μὲν δάκνει γάρ, ὁ δ' ἱλαροὺς ἡμᾶς ποιεῖ. Alexis fr. 278.

22. Μὴ νουθέτει γέροντ' ἁμαρτάνοντά τι·
δένδρον παλαιὸν μεταφυτεύειν δύσκολον. Philemon fr. 147.

23. Γέρων γενόμενος μὴ φρόνει νεώτερα,
μηδ' εἰς ὄνειδος ἕλκε τὴν σεμνὴν πολιάν. Philemon fr. 179.

III. Alter und Jugend.

24. Λιεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται·
οἷς δ' ὁ γέρων μετέῃσιν, ἅμα πρόσσω καὶ ὀπίσσω
λεύσσει, ὅπως ὄχ' ἄριστα μετ' ἀμφοτέροισι γένηται.
Hom. Il. 3,108.

25. Γῆρας γὰρ ἥβης ἐστὶν ἐνδικώτερον. Aesch. fr. 400.

26. Ὦ παῖ, νέων τοι δρᾶν μὲν ἔντονοι χέρες,
γνῶμαι δ' ἀμείνους εἰσὶ τῶν γεραιτέρων·
ὁ γὰρ χρόνος δίδαγμα ποικιλώτατον. Eur. fr. 291.

27. Παλαιὸς αἶνος· ἔργα μὲν νεωτέρων,
βουλαὶ δ' ἔχουσι τῶν γεραιτέρων κράτος. Eur. fr. 508.

28. Τὸ γῆρας, ὦ παῖ, τῶν νεωτέρων φρενῶν
σοφώτερον πέφυκε κἀσφαλέστερον,
ἐμπειρία τε τῆς ἀπειρίας κρατεῖ. Eur. fr. 619.

29. Γῆρας λεόντων κρεῖσσον ἀκμαίων νεβρῶν. Hippothoon fr. 5.

IV. Armut, Niedrigkeit.

30. Μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρὶ
τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων. Hes. Opp. 717.

31. Οὐκ ἔστι πενίας οὐδὲν ἀθλιώτερον
ἐν τῷ βίῳ σύμπτωμα· καὶ γὰρ ἂν φύσει
σπουδαῖος ᾖς, πένης δέ, καταγέλως ἔσῃ. Unbekannt.

32. Ἀργαλέον πενία κακὸν ἄσχετον, ἃ μέγα δάμνας
λαὸν ἀμαχανίᾳ σὺν ἀδελφέᾳ. Alcaeus fr. 92.

33. Οὐδὲν κακίων πτωχός, εἰ καλῶς φρονεῖ. Soph. fr. 752.

34. Πενία δὲ συγκραθεῖσα δυσσεβεῖ τρόπῳ
ἄρδην ἀνεῖλε καὶ κατέστρεψεν βίον. Soph. fr. 858.

35. Ἔχει νόσον
πενία, διδάσκει δ' ἄνδρα τῇ χρείᾳ κακόν. Eur. El. 375.

36. Πένης γὰρ οὐδὲν εὐγενὴς ἀνήρ. Eur. Phoen. 442.

37. Πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ δυστυχές. Eur. fr. 642.

38. Πενία γάρ ἐστιν ἡ τρόπων διδάσκαλος. Antiphanes fr. 294.

39. Ἆρ' οἶσθ' ὅτι τῆς πενίας ὅπλον
ἡ παρρησία; ταύτην ἐάν τις ἀπολέσῃ,
τὴν ἀσπίδ' ἀποβέβληκεν οὗτος τοῦ βίου. Nikostratus fr. 29.

40. Ἐὰν ὁρῶν πένητα γυμνὸν ἐνδύσῃς,
μᾶλλον ἀπέδυσας αὐτόν, ἂν ὀνειδίσῃς. Philemon fr. 176.

41. Πένητος ἀνδρὸς οὐδὲν εὐτυχέστερον·
τὴν ἐπὶ τὸ χεῖρον μεταβολὴν οὐ προσδοκᾷ. Diphilus fr. 104.

42. Πένητος ἀνδρὸς οὐδὲν ὀλβιώτερον. Fr. com ad. 1273.

43. Ἁ πενία, Διόφαντε, μόνα τὰς τέχνας ἐγείρει·
αὐτὰ τῶ μόχθοιο διδάσκαλος· οὐδὲ γὰρ εὖδειν
ἀνδράσιν ἐργατίναισι κακαὶ παρέχοντι μέριμναι
κἂν ὀλίγον νυκτός τις ἐπιμύσσῃσι, τὸν ὕπνον
αἰφνίδιον θορυβεῦσιν ἐφιστάμεναι μελεδῶναι. Theokr. 21,1.

V. Armut und Reichtum.

44. Πολλῷ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη
ἄνδρας, ὅσοι μοίρης πλεῖον ἔχειν ἔθελον. Theogn. 605.

45. Οἱ μὲν γὰρ κακότητα κατακρύψαντες ἔχουσι
πλούτῳ, τοὶ δ' ἀρετὴν οὐλομένῃ πενίῃ. Theogn. 1061.

46. Ἴση γὰρ ἡ χάρις,
μεγάλοισι χαίρειν σμικρά θ' ἡδέως ἔχειν. Eur. Ion. 646.

47. Κακόν τι παίδευμ' ἦν ἄρ' εἰς εὐανδρίαν
ὁ πλοῦτος ἀνθρώποισιν αἵ τ' ἄγαν τρυφαί·
πενία δὲ δύστηνον μέν, ἀλλ' ὅμως τρέφει
μοχθεῖν τ' ἀμείνω τέκνα καὶ δραστήρια. Eur. fr. 54.

48. Χρυσὸν μάλιστα βούλομαι δόμοις ἔχειν·
καὶ δοῦλος ὢν γὰρ τίμιος πλουτῶν ἀνήρ·
ἐλεύθερος δὲ χρεῖος ὢν οὐδὲν σθένει.
χρυσοῦ νόμιζε σαυτὸν οὕνεκ' εὐτυχεῖν. Eur. fr. 142.

49. Φιλοῦσι γάρ τοι τῶν μὲν ὀλβίων βροτοὶ
σοφοὺς τίθεσθαι τοὺς λόγους, ὅταν δέ τις
λειτῶν ἀπ' οἰκῶν εὖ λέγῃ πένης ἀνήρ,
γελᾶν· ἐγὼ δὲ πολλάκις σοφωτέρους
πένητας ἄνδρας εἰσορῶ τῶν πλουσίων
καὶ τοὺς θεοῖσι μικρὰ θύοντας τέλη
τῶν βουθυτούντων ὄντας εὐσεβεστέρους. Eur. fr. 327.

50. Ἔχειν δὲ πειρῶ· τοῦτο γὰρ τό τ' εὐγενὲς
καὶ τοὺς γάμους δίδωσι τοὺς πρώτους ἔχειν.
ἐν τῷ πένεσθαι δ' ἐστὶν ἥ τ' ἀδοξία,
κἂν ἦ σοφός τις, ἥ τ' ἀτιμία βίου. Eur. fr. 362.

51. Πλουτεῖς, τὰ δ' ἄλλα μὴ δόκει ξυνιέναι·
ἐν τῷ γὰρ ὄλβῳ φαυλότης ἔνεστί τις,
πενία δὲ σοφίαν ἔλαχε διὰ τὸ συγγενές. Eur. fr. 641.

52. Ἀεὶ τὸ πλουτεῖν συμφορὰς πολλὰς ἔχει,
φθόνον τ' ἐπήρειαν τε καὶ μῖσος πολύ,
πράγματα δὲ πολλὰ κἀνοχλήσεις μυρίας,
πράξεις τε πολλὰς συλλογάς τε τοῦ βίου.
ἔπειτα μετὰ ταῦτ' εὐθὺς εὑρέθη θανών,
ἄλλοις καταλείψας εἰς τροφὴν τὴν οὐσίαν.
ὅθεν πένεσθαι μᾶλλον ἡδέως ἔχω,
ἔχειν τε μέτρια κἀμέριμνον ζῆν βίον,
καὶ μήτ' ἔχειν πλοῦτόν με μήτε πράγματα·
πᾶς γὰρ πένης ὢν μεγάλα κερδαίνει κακά. Philemon fr. 92.

53. Πρόσεστι δὲ τῷ πένητι ἀπιστία·
κἂν σοφὸς ὑπάρχῃ κἂν λέγῃ τι συμφέρον,
δοκεῖ τι φράζειν τοῖς ἀκούουσιν κακῶς.
τῶν γὰρ πενήτων πίστιν οὐκ ἔχει λόγος·
ἀνὴρ δὲ πλουτῶν, κἂν ἅγαν ψευδηγορῇ,
δοκεῖ τι φράζειν τοῖς ἀκούουσιν ἀσφαλές. Philemon fr. 102.

54. Δεινὸν πένεσθαι, χεῖρον εὐπορεῖν κακῶς. Fr. com. ad. 273.

VI. Aufschub.

55. Αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει. Hes. Opp. 413.

56. Βουλεύου δὶς καὶ τρὶς ὅ τοι κ' ἐπὶ τὸν νόον ἔλθῃ·
ἀτηρὸς γὰρ ἀεὶ λαβρὸς ἀνὴρ τελέθει. Theogn. 634.

57. Φιλεῖ γὰρ ὀκνεῖν πρᾶγμ' ἀνὴρ πράττων μέγα. Soph. El. 320.

58. Ὅταν τι δρᾷς ἐς κέρδος, οὐκ ὀκνεῖν πρέπει.
Soph. Phil. 111.

59. Ἐν ταῖς ἀναβολαῖς τῶν κακῶν ἔνεστ' ἀκή. Eur. H. f. 93.

60. Ὁ δρῶν τὰ τοῦ μέλλοντος οἴχεται φέρων. Fr. tr. ad. 430.

VII. Beleidigung, Kränkung.

61. Ἥδιον οὐδὲν οὐδὲ μουσικώτερον
ἔστ' ἢ δύνασθαι λοιδορούμενον φέρειν·
ὁ λοιδορῶν γάρ, ἂν ὁ λοιδορούμενος
μὴ προσποιῆται, λοιδορεῖται λοιδορῶν. Philemon fr. 23.

62. Οὗτος κράτιστός ἐστ' ἀνήρ, ὦ Γοργία,
ὅστις ἀδικεῖσθαι πλεῖστ' ἐπίσταται' ἐγκρατῶς·
τὸ δ' ὀξύθυμον τοῦτο καὶ λίαν πικρὸν
δῆγμ' ἐστὶν εὐθὺς πᾶσι μικροψυχίας. Menander fr. 95.

VIII. Besitz, Verlust.

63. Νήπιος, ὃς τὰ ἕτοιμα λιπὼν ἀνέτοιμα διώκει. Hes. fr. 186.

64. Οἱ γὰρ κακοὶ γνώμαισι τἀγαθὸν χεροῖν
ἔχοντες οὐκ ἴσασι, πρίν τις ἐκβάλῃ. Soph. Aj. 964.

65. Τὰ γὰρ δόλῳ
τῷ μὴ δικαίῳ κτήματ' οὐχὶ σώζεται. Soph. O. C. 1026.

IX. Bildung, Gelehrsamkeit, Wissenschaft, Kenntnisse.

66. Ὁ χρήσιμ' εἰδώς, οὐχ ὁ πόλλ' εἰδὼς σοφός. Aesch. fr. 390.

67. Καλὸν δὲ καὶ γέροντι μανθάνειν σοφά. Aesch. fr. 396.

68. Ὡς δυσπάλαιστον ἀμαθία κακόν. Soph. fr. 838.

69. Σοφοῦ παρ' ἀνδρὸς χρὴ σοφόν τι μανθάνειν.
Eur. Rhes. 206.

70. Ὄλβιος ὅστις τῆς ἱστορίας
ἔσχε μάθησιν,
μήτε πολιτῶν ἐπὶ πημοσύνην
μήτ' εἰς ἀδίκους πράξεις ὁρμῶν.

ἀλλ' ἀθανάτου καθορῶν φύσεως
κόσμον ἀγήρων, πῇ τε συνέστηι
καὶ ὅπηι καὶ ὅπως.
τοῖς δὲ τοιούτοις οὐδέποτ' αἰσχρῶν
ἔργων μελέδημα προσίζει. Eur. fr. 910.

71. Ὅστις νέος ὢν μουσῶν ἀμελεῖ,
τόν τε παρελθόντ' ἀπόλωλε χρόνον
καὶ τὸν μέλλοντα τέθνηκε. Eur. fr. 1028.

72. Ἀεί τι βούλου χρήσιμον προσμανθάνειν. Fr. tr. ad. 516a.

73. Μάθοι γὰρ ἄν τις κ' ἀπὸ τῶν ἐχθρῶν σοφόν. Ar. Av. 382.

74. Οὐκ ἔστιν οὐδὲν ἀτυχίας ἀνθρωπίνης
παραμύθιον γλυκύτερον ἐν βίῳ τέχνης·
ἐπὶ τοῦ μαθήματος γὰρ ἑστηκὼς ὁ νοῦς
αὐτὸν λέληθε παραπλέων τὰς συμφοράς. Amphis fr. 3.

75. Μαθημάτων φρόντιζε μᾶλλον χρημάτων·
τὰ γὰρ μαθήματ' εὐπορεῖ τὰ χρήματα. Philemon fr. 232.

76. Μανθάνειν·
ὅτου δ' ἂν ἔργου τυγχάνῃς ἄπειρος ὤν,
τὸ πυνθάνεσθαι τῶν κατειδότων καλόν. Menander fr. 606.

77. Πολὺ κρεῖττόν ἐστιν ἢν καλῶς μεμαθηκέναι
ἢ πολλὰ φαύλως περιβεβλῆσθαι πράγματα.
Menander fr. 683.

X. Charakter.

78. Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
γιγνώσκουσ', ἀνδρὸς δ' οἶνος ἔδειξε νόον,
καὶ μάλα περ πινυτοῦ, κακότητα δὲ πᾶσαν ἐλέγχει,
ὥστε καταισχύνειν καὶ τὸν ἐόντα σοφόν. Theogn. 499.

79. Ἐν μὲν λιθίναις ἀκόναις ὁ χρυσὸς ἐξετάζεται
δὶδοὺς βάσανον φανεράν·

ἐν δὲ χρυσῷ
ἀνδρῶν ἀγαθῶν τε κακῶν τε νοῦς ἔδωκ' ἔλεγχον.
Chilon fr. 1.

80. Κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ. Aesch fr. 393.

81. Ἀμήχανον δὲ παντὸς ἀνδρὸς ἐκμαθεῖν
ψυχήν τε καὶ φρόνημα καὶ γνώμην, πρὶν ἂν
ἀρχαῖς τε καὶ νόμοισιν ἐντριβὴς φανῇ. Soph. Ant. 175.

82. Ἅπαντα δυσχέρεια, τὴν αὑτοῦ φύσιν
ὅταν λιπών τις δρᾷ τὰ μὴ προσεικότα. Soph. Phil. 902.

83. Ὦ Ζεῦ, τί δὴ χρυσοῦ μὲν ὃς κίβδηλος ἦι
τεκμήρι' ἀνθρώποισιν ὤπασας σαφῆ,
ἀνδρῶν δ' ὅτῳ χρὴ τὸν κακὸν διειδέναι,
οὐδεὶς χαρακτὴρ ἐμπέφυκε σώματι; Eur. Med. 516.

84. Τρόπος δὲ χρηστὸς ἀσφαλέστερος νόμου·
τὸν μὲν γὰρ οὐδεὶς ἂν διαστρέψαι ποτὲ
λόγος δύναιτο, τὸν δ' ἄνω δὲ καὶ κάτω
ῥήτωρ ταράσσων πολλάκις λυμαίνεται. Eur. fr. 597.

85. Τὸ γὰρ ἀποστῆναι χαλεπὸν
φύσεος, ἣν ἔχει τις ἀεί. Ar. Vesp. 1457.

86. Τρόπος δίκαιος κτῆμα τιμιώτατον. Antiphanes fr. 291.

87. Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται. Menander fr. 143.

XI. Dankbarkeit.

88. Ἀνδρί τοι χρεὼν
μνήμην προσεῖναι, τερπνὸν εἴ τί που πάθοι·
χάρις χάριν γάρ ἐστιν ἥ τίκτουσ' ἀεί·
ὅτου δ' ἀπορρεῖ μνῆστις εὖ πεπονθότος,
οὐκ ἂν γένοιθ' ἔθ' οὗτος εὐγενὴς ἀνήρ. Soph. Aj. 520.

89. Φεῦ, τοῦ θανόντος ὡς ταχεῖά τις βροτοῖς
χάρις διαρρεῖ καὶ προδοῦσ' ἁλίσκεται. Soph. Aj. 1266.

90. Ὅστις γὰρ εὖ δρᾶν εὖ παθὼν ἐπίσταται,
παντὸς γένοιτ' ἂν κτήματος κρείσσων φίλος. Soph. Phil. 672.

91. Χάριν δὲ γηράσκουσαν ἐχθαίρω φίλων
καὶ τῶν καλῶν μὲν ὅστις ἀπολαύειν θέλει,
συμπλεῖν δὲ τοῖς φίλοισι δυστυχοῦσιν οὔ. Eur. H. f. 1223.

92. Ἡ χάρις γὰρ οὐ μακρῶν λόγων
δεῖται. Eur. Tr. 87.

93. Ἀεί δ' ὁ σωθεὶς ἐστιν ἀχάριστον φύσει·
ἅμ' ἠλέηται καὶ τέθνηκεν ἡ χάρις,
ἣν δεόμενος τότ' ἀθάνατον ἔξειν ἔφη. Menander fr. 595.

XII. Dichtkunst.

94. Ὅ δ' ὄλβιος, ὄντινα Μοῦσαι
φίλωνται· γλυκερή οἱ ἀπὸ στόματος ῥέει αὐδή.
εἰ γάρ τις καὶ πένθος ἔχων νεοκηδὲϊ θυμῷ
ἄζηται κραδίην ἀκαχήμενος, αὐτὰρ ἀοιδὸς
Μουσάων θεράπων κλεῖα προτέρων ἀνθρώπων
ὑμνήσῃ, μάκαράς τε θεούς, οἳ Ὄλυμπον ἔχουσιν,
αἶψ' ὅγε δυσφρονέων ἐπιλήθεται οὐδέ τι κηδέων
μέμνηται· ταχέων δὲ παρέτραπε δῶρα θεάων.
Hes. Theog. 96.

95. Ἀλλ' ἀποκρύπτειν χρὴ τὸ πονηρὸν τόν γε ποιητήν,
καὶ μὴ παράγειν μηδὲ διδάσκειν. τοῖς μὲν γὰρ παιδαρίοισιν
ἔστι διδάσκαλος ὅστις φράζει, τοῖσιν δ' ἡβῶσι ποιηταί.
πάνυ δὴ δεῖ χρηστὰ λέγειν ἡμᾶς. Ar. Ran. 1053.

96. Ἄνθρωπός ἐστι ζῶον ἐπίπονον φύσει,
καὶ πολλὰ λυπήρ' ὁ βίος ἐν αὑτῷ φέρει.
παραψυχὰς οὖν φροντίδων ἀνεύρετο
ταύτας· ὁ γὰρ νοῦς τῶν ἰδίων λήθην λαβὼν

πρὸς ἀλλοτρίῳ τε ψυχαγωγηθεὶς πάθει,
μεθ' ἡδονῆς ἀπῆλθε παιδευθεὶς ἅμα.
τοὺς γὰρ τραγῳδοὺς πρῶτον, εἰ βούλει, σκόπει
ὡς ὠφελοῦσι πάντας· ὁ μὲν ὢν γὰρ πένης
πτωχότερον αὑτοῦ καταμαθὼν τὸν Τήλεφον
γενόμενον ἤδη τὴν πενίαν ῥᾷον φέρει.
ὁ νοσῶν τι μανικὸν Ἀλκμέων' ἐσκέψατο.
ὀφθαλμιᾷ τις, εἰσὶ Φινεῖδαι τυφλοί.
τέθνηκέ τῳ παῖς, ἡ Νιόβη κεκούφικεν·
χωλός τίς ἐστιν, τὸν Φιλοκτήτην ὁρᾷ.
γέρων τις ἀτυχεῖ, κατέμαθεν τὸν Οἰνέα.
ἅπαντα γὰρ τὰ μείζον' ἢ πέπονθέ τις
ἀτυχήματ' ἄλλοις γεγονότ' ἐννοούμενος
τὰς αὑτὸς αὑτοῦ συμφορὰς ἧττον στένει. Timokles fr. 6.

XIII. Ehe.

97. Οἶσθα γάρ, οἷος θυμὸς ἐνὶ στήθεσσι γυναικός·
κείνου βούλεται οἶκον ὀφέλλειν, ὅς κεν ὀπυίῃ,
παίδων δὲ προτέρων καὶ κουριδίοιο φίλοιο
οὐκέτι μέμνηται τεθνηότος οὐδὲ μεταλλᾷ. Hom. Od. 15,20.

98. Ὣς δ' αὖτως ἀνδρεσσι κακὸν θνητοῖσι γυναῖκα
Ζεὺς ὑψιβρεμέτης θῆκε, ξυνήονας ἔργων
ἀργαλέων· ἕτερον δὲ πόρεν κακὸν ἀντ' ἀγαθοῖο
ὅς κε γάμον φεύγων καὶ μέρμερα ἔργα γυναικῶν
μὴ γῆμαι ἐθέλῃ, ὀλόον δ' ἐπὶ γῆρας ἵκηται,
χήτεϊ γηροκόμοιο ὅγ' οὐ βίοτου ἐπιδευὴς
ζώει, ἀποφθιμένου δὲ διὰ κτῆσιν δατέονται
χηρωσταί· ᾧ δ' αὖτε γάμου μετὰ μοῖρα γένηται,
κεδνὴν δ' ἔσχεν ἄκοιτιν, ἀρηρυῖαν πραπίδεσσι,
τῷ δέ τ' ἀπ' αἰῶνος κακὸν ἐσθλῷ ἀντιφερίζει
ἔμμεναι· ὃς δέ τε τέτμῃ ἀταρτηροῖο γενέθλης,
ζώει ἐνὶ στήθεσσιν ἔχων ἀλίαστον ἀνίην
θυμῷ καὶ κραδίῃ, καὶ ἀνήκεστον κακόν ἐστιν.
Hes. Theog. 600.

99. Οὐ μὲν γάρ τι γυναικὸς ἀνὴρ λῇΐζετ' ἄμεινον
τῆς ἀγαθῆς, τῆς δ' αὖτε κακῆς οὐ ῥίγιον ἄλλο
δειπνολόχης· ἣτ' ἄνδρα καὶ ἴφθιμόν περ ἐόντα
εὖει ἄτερ δαλοῖο καὶ ὠμῷ γήρᾳ δῶκεν. Hes. Op. 702.

100. Κρίους μὲν καὶ ὄνους διζήμεθα, Κύρνε, καὶ ἵππους
εὐγενέας, καί τις βούλεται ἐξ ἀγαθῶν
βήσεσθαι· γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
ἐσθλὸς ἀνήρ, ἢν οἱ χρήματα πολλὰ διδῷ. Theogn. 183.

101. Γυναικὸς οὐδὲν χρῆμ' ἀνὴρ λῇΐζεται
ἐσθλῆς ἄμεινον οὐδὲ ῥίγιον κακῆς.
Simonides Amorginus fr. 6.

102. Δύ' ἡμέραι γυναικός εἰσιν ἥδισται,
ὅταν γαμῇ τις κἀκφέρῃ τεθνηκυῖαν. Hipponax fr. 29.

103. Γάμος κράτιστός ἐστιν ἀνδρὶ σώφρονι.
τρόπον γυναικὸς χρηστὸν ἔδνον λαμβάνειν·
αὕτη γὰρ ἡ προῖξ οἰκίαν σώζει μόνη. Hipponax fr. 72.

104. Ἢ σοφὸς ἢ σοφὸς ὃς
πρῶτος ἐν γνώμᾳ τόδ' ἐβάστασε καὶ γλώσσᾳ διεμυθολόγησεν.
ὡς τὸ κηδεῦσαι καθ' ἑαυτὸν ἀριστεύει μακρῷ,
καὶ μήτε τῶν πλούτῳ διαθρυπτομένων
μήτε τῶν γέννᾳ μεγαλυνομένων
ὄντα χερνήταν ἀριστεῦσαι γάμων. Aesch. Prom. 887.

105. Οὔποτε ψήσω γάμον εὐφραίνειν
πλέον ἢ λυπεῖν. Eur. Alc. 238.

106. Τί γὰρ ἀνδρὶ κακὸν μεῖζον ἁμαρτεῖν
πιστῆς ἀλόχου; Eur. Alc. 879.

107. Φίλτρον δὲ καὶ τόδ' οὐ τὸ κάλλος, ὦ γύναι,
ἀλλ' ἀρεταὶ τέρπουσι τοὺς ξυνευνέτας. Eur. Andr. 207.

108. Χρὴ γὰρ γυναῖκα, κἂν κακῷ πόσει δοθῇ,
στέργειν ἄμιλλάν τ' οὐκ ἔχειν φρονήματος. Eur. Andr. 213.

109. Κάτ' οὐ γαμεῖν δῆτ' ἔκ τε γενναίων χρεὼν
δοῦναί τ' ἐς ἐσθλούς, ὅστις εὖ βουλεύεται,
κακῶν δὲ λέκτρων μὴ 'πιθυμίαν ἔχειν,
μηδ' εἰ ξαπλούτους οἴσεται φερνὰς δόμοις: Eur. Andr. 1279.

110. Ἀλλ' ὅταν πόσις πικρὸς
ξυνῇ γυναικί, καὶ τὸ σῶν ἐστιν πικρόν. Eur. Hel. 296.

111. Ὅστις δὲ πλοῦτον ἢ εὐγένειαν εἰσιδὼν
γαμεῖ πονηράν, μῶρός ἐστι· μικρὰ γὰρ
μεγάλων ἀμείνω σώφρονες δόμοις ἔχει. Eur. El. 1097.

112. Τύχῃ γυναικῶν εἰς γάμους· τὰ μὲν γὰρ εὖ,
τὰ δ' οὐ καλῶς πίπτοντα δέρκομαι βροτῶν. Eur. El. 1100.

113. Οὐκ ἔστι τοῦδε παισὶ κάλλιον γέρας
ἢ πατρὸς ἐσθλοῦ κἀγαθοῦ πεφυκέναι
γαμεῖν τ' ἀπ' ἐσθλῶν· ὃς δὲ νικηθεὶς πόθῳ
κακοῖς ἐκοινώνησεν, οὐκ ἐπαινέσω,
τέκνοις ὄνειδος οὕνεχ' ἡδονῆς λιπεῖν.
τὸ δυστυχὲς γὰρ ηὐγένει' ἀμύνεται·
τῆς δυσγενείας μᾶλλον. Eur. Her. 297.

114. Χρὴ δ' ἐν δόμοισιν ἄνδρα τὸν σόφον τρέφειν
γυναῖκα χρηστὴν κἀγαθὴν ἢ μὴ γαμεῖν. Eur. I. A. 749.

115. Ἥπερ μεγίστη γίγνεται σωτηρία.
ὅταν γυνὴ πρὸς ἄνδρα μὴ διχοστατῇ. Eur. Med. 15.

116. Γάμοι δ' ὅσοις μὲν εὖ καθεστῶσιν βροτῶν.
μακάριος αἰών· οἷς δὲ μὴ πίπτουσιν εὖ,
τά τ' ἔνδον εἰσὶ τά τε θύραζε δυστυχεῖς. Eur. Or. 602.

117. Ἐκ τῶν ὁμοίων οἱ κακοὶ γαμοῦσ' ἀεί. Eur. fr. 59.

118. Τῶν γὰρ πλούτων ὅδ' ἄριστος
γενναῖον λέχος εὑρεῖν. Eur. fr. 137.

119. Ἄριστον ἀνδρὶ κτῆμα συμπαθὴς γυνή. Eur. fr. 164.

120. Εἰ νοῦς ἔνεστιν· εἰ δὲ μή, τί δεῖ καλῆς
γυναικός, εἰ μὴ τὰς φρένας χρηστὰς ἔχοι; Eur. fr. 212.

121. Καὶ νῦν παραινῶ πᾶσι τοῖς νεωτέροις
μὴ πρὸς τὸ γῆρας ἀναβολὰς ποιουμένους
σχολῇ τεκνοῦσθαι παῖδας· οὐ γὰρ ἡδονή,
γυναικί τ' ἐχθρὸν χρῆμα πρεσβύτης ἀνήρ·
ἀλλ' ὡς τάχιστα. καὶ γὰρ ἐκτροφαὶ καλαὶ
καὶ συννεάζων ἡδὺ παῖς νέῳ πατρί. Eur. fr. 317.

122. Ὅσοι γαμοῦσι δ' ἢ γένει κρείσσους γάμους
ἢ πολλὰ χρήματ', οὐκ ἐπίστανται γαμεῖν·
τὰ τῆς γυναικὸς γὰρ κρατοῦντ' ἐν δώμασιν
δουλοῖ τὸν ἄνδρα, κοὐκέτ' ἔστ' ἐλεύθερος.
πλοῦτος δ' ἐπακτὸς ἐκ γυναικείων γάμων
ἀνόνητος· αἱ γὰρ διαλύσεις οὐ ῥᾴδιαι. Eur. fr. 502.

123. Μετρίων λέκτρων, μετρίων δὲ γάμων
μετὰ σωφροσύνης
κῦρσαι θνητοῖσιν ἄριστον. Eur. fr. 503.

124. Οἰκοφθόρον γὰρ ἄνδρα κωλύει γυνὴ
ἐσθλὴ παραζευχθεῖσα καὶ σώζει δόμους. Eur. fr. 1055.

125. Μακάριος ὅστις εὐτυχεῖ γάμον λαβών
ἐσθλῆς γυναικός, δυστυχεῖ δ' ὁ μὴ λαβών. Eur. fr. 1057.

126. Γυναῖκα θάπτειν κρεῖττόν ἐστιν ἢ γαμεῖν.
Chaeremon fr. 32.

127. Ὅταν γὰρ ἄλοχον εἰς δόμους ἄγῃ πόσις,
οὐχ ὡς δοκεῖ γυναῖκα λαμβάνει μόνον·
ὁμοῦ δὲ τῇδ' ἐπεισκομίζεται λαβὼν
καὶ δαίμον' ἤτοι χρηστὸν ἢ τοὐναντίον. Theodektes fr. 13.

128. Φεῦ φεῦ, γυναῖκες, ὡς ἐν ἀνθρώποις ἄρα
οὐ χρυσός, οὐ τυραννίς, οὐ πλούτου χλιδὴ
τοσοῦτον εἶχε διαφόρους τὰς ἡδονὰς
ὡς ἀνδρὸς ἐσθλοῦ καὶ γυναικὸς εὐσεβοῦς
γνώμη δικαία καὶ φρονοῦσα τἀνδίκα. Apollonides fr. 1.

129. Ζευχθεὶς γάμοισιν οὐκέτ' ἔστ' ἐλεύθερος·
ἀλλ' ἕν γ' ἔχει τι χρηστόν· ἐν κήδει γὰρ ὢν
ἐσθλῷ δέδοικε μηδὲν ἐξαμαρτάνειν. Hippothoon fr. 3.

130. Γάμος κράτιστός ἐστιν ἀνδρὶ σώφρονι
τρόπον γυναικὸς χρηστὸν ἔνδον λαμβάνειν·
αὕτη γὰρ ἡ προὶξ οἰκίαν σώζει μόνη. Hippothoon fr. 6.

131. Οὐδὲν ἐν γᾷ, Κλεινία, γυναικὸς ἄχθος βαρύτερον,
οἰδ' ὁ συντυχὼν ἄριστα· μακάριος δ' ὃς ἀγνοεῖ.
Epicharmus (Stob. 68, 9).

132. Τὸ δὲ γαμεῖν ὅμοιόν ἐστι τῷ τρὶς ἓξ ἢ τρεῖς μόνους
ἀπὸ τύχης βαλεῖν· ἐὰν μὲν γὰρ λάβῃς τεταγμένην
τοῖς τρόποις καὶ τἄλλ' ἄλυπον, εὐτυχήσεις τῷ γάμῳ·
εἰ δὲ καὶ φιλέξοδόν τε καὶ λάλον καὶ δαψιλῆ,
οὐ γυναῖχ' ἕξεις, διὰ βίου δ' ἀτυχίαν κοσμουμέναν.
Epicharmus (Stob. 69, 17).

133. Ὡς ἔστι τὸ γαμεῖν ἔσχατον τοῦ δυστυχεῖν.
Antiphanes fr. 292.

134. Οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν φορτίων
ὄντως γυναικὸς προῖκα πολλὴν φερομένης.
Antiphanes fr. 329.

135. Κακὸς κακῶς γένοιθ' ὁ γήμας δεύτερος
θνητῶν· ὁ μὲν γὰρ πρῶτος οὐδὲν ἠδίκει·
οὔπω γὰρ εἰδὼς οὕτος οἷον ἦν κακὸν
ἐλάμβανεν γυναῖχ'· ὁ δ' ὕστερον λαβὼν
εἰς προῦπτον εἰδὼς αὑτὸν ἐνέβαλεν κακόν. Aristophon fr. 5.

136. Τίς δῆθ' ὑγιαίνων νοῦν τ' ἔχων τολμᾷ ποτε
γαμεῖν, διαπραξάμενος ἥδιον βίον;
εἶτ' οὐχὶ κρεῖττόν ἐστι τῷ γ' ἔχοντι νοῦν
ἄτιμον εἶναι μᾶλλον ἢ γυναῖκ' ἔχειν;
πολλῷ γε· τοὺς μὲν γοῦν ἀτίμους οὐκ ἐᾷ
ἀρχὴν λαχόντας ὁ νόμος ἄρχειν τῶν πέλας·
ἐπὰν δὲ γήμῃς, οὐδὲ σαυτοῦ κύριον
ἔξεστιν εἶναι· τὰς γὰρ εὐθύνας μόνον
ἐφημερινὰς τὰς τοῦ βίου κεκτήμεθα. Alexis fr. 262.

137. Ἀγαθῆς γυναικός ἐστιν, ὦ Νικοστράτη,
μὴ κρεῖττον εἶναι ἀνδρὸς ἀλλ' ὑπήκοον·
γυνὴ δὲ νικῶσ' ἄνδρα κακόν ἐστιν μέγα. Philemon fr. 132.

138. Ὦ τρὶς κακόδαιμον, ὅστις ὢν πένης γαμεῖ
καὶ παιδοποιεῖθ'. ὡς ἀλόγιστός ἐστ' ἀνήρ,
ὃς μήτε φυλακὴν τῶν ἀναγκαίων ἔχει,
μήτ' ἂν ἀτυχήσας εἰς τὰ κοινὰ τοῦ βίου
ἐπαμφιέσαι δύναιτο τοῦτο χρήμασιν,
ἀλλ' ἐν ἀκαλύπτῳ καὶ ταλαιπώρῳ βίῳ
χειμαζόμενος ζῇ, τῶν μὲν ἀνιαρῶν ἔχων
τὸ μέρος ἁπάντων, τῶν δ' ἀγαθῶν οὐδὲν μέρος.
Menander fr. 404.

139. Τὰ δεύτερ' ἀεὶ τὴν γυναῖκα δεῖ λέγειν,
τὴν δ' ἡγεμονίαν τῶν ὅλων τὸν ἄνδρ' ἔχειν.
οἶκος δ' ἐν ᾧ τὰ πάντα πρωτεύει γυνή,
οὐκ ἔστιν ὅστις πώποτ' οὐκ ἀπώλετο. Menander fr. 484.

140. Πατρῷ' ἔχειν δεῖ τὸν καλῶς εὐδαίμονα·
τὰ μετὰ γυναικὸς δ' εἰσιόντ' εἰς οἰκίαν
οὔτ' ἀσφαλῆ τὴν κτῆσιν οὔθ' ἱλαρὰν ἔχει.
Menander fr. 582.

141. Ὅταν πένης ὢν καὶ γαμεῖν τις ἑλόμενος
τὰ μετὰ γυναικὸς ἐπιδέχηται χρήματα,
αὑτὸν δίδωσιν, οὐκ ἐκείνην λαμβάνει. Menander fr. 583.

142. Ὅστις πενόμενος βούλεται ζῆν ἡδέως,
ἑτέρων γαμούντων αὐτὸς ἀπεχέσθω γάμου.
Menander fr. 650.

143. Τὸ γαμεῖν, ἐάν τις τὴν ἀλήθειαν σκοπῇ,
κακὸν μέν ἐστιν, ἀλλ' ἀναγκαῖον κακόν. Menander fr. 651.

144. Γαμεῖν ὁ μέλλων εἰς μετάνοιαν ἔρχεται.
Menander monost. 91.

145. Ἦθος προκρίνειν χρημάτων γαμοῦντα δεῖ.
Menander monost. 211.

146. Τὴν ἀξίαν γὰρ δεῖ γαμεῖν τὸν ἄξιον. Fr. com. ad. 206.

147. Γάμος νεότητος δεσμὸς ἀσφαλέστατος. Fr. com. ad. 215.

148. Εἴ τις ἅπαξ γήμας πάλι δεύτερα λέκτρα διώκει,
ναυηγὸς πλώει δὶς βύθον ἀργαλέον. (Anth. Pal. 9, 133.)

149. „Οὐκ ἔστι γήμας ὅστις οὐ χειμάζεται,"
λέγουσι πάντες, καὶ γαμοῦσιν εἰδότες. (Anth. Pal. 10, 116.)

XIV. Ehre, Ruhm.

150. Ὁ δ' ὄλβιος, ὃν φᾶμαι κατέχοντ' ἀγαθαί. Pindar Ol. 7,10.

151. Πρέπει δ' ἐσλοῖσιν ὑμνεῖσθαι καλὰ
ἔργα καλλίσταις ἀοιδαῖς·
τοῦτο γὰρ ἀθανάτοις τιμαῖς ποτιψαύει μόνον·
θνάσκει δὲ σιγαθὲν καλὸν ἔργον. Pindar fr. 121.

152. Καὶ σώφρων ἥμαρτε, καὶ ἄφρονι πολλάκι δόξα
ἕσπετο καὶ τιμῆς τις κακὸς ὢν ἔλαχεν. Theogn. 665.

153. Γένοιτο κἂν ἄπλουτος ἐν τιμαῖς ἀνήρ. Soph. fr. 751.

154. Ὦ δόξα δόξα, μυρίοισι δὴ βροτοῖς
οὐδὲν γεγῶσι βίοτον ὤγκωσας μέγαν.
εὔκλεια δ' οἷς μὲν ἔστ' ἀληθείας ὕπο,
εὐδαιμονίζω· τοὺς δ' ὑπὸ ψευδῶν ἔχειν
οὐκ ἀξιώσω πλὴν τύχῃ φρονεῖν δοκεῖν. Eur. Andr. 319.

155. Οὗτοι
λείψανα τῶν ἀγαθῶν
ἀνδρῶν ἀφαιρεῖται χρόνος· ἃ δ' ἀρετὰ
καὶ θανοῦσι λάμπει. Eur. Andr. 773.

156. Ἡ γὰρ αἰσχύνη πάρος
τοῦ ζῆν παρ' ἐσθλοῖς ἀνδράσιν νομίζεται. Eur. Her. 200.

157. Ἦ δὴ νοσῶδες τοῦτο τοῖς ἀμείνοσιν,
ὅταν πονηρὸς ἀξίωμ' ἀνὴρ ἔχῃ
γλώσσῃ κατασχὼν δῆμον οὐδὲν ὢν τὸ πρίν.
Eur. Suppl. 422.

158. Νεανίαν γὰρ ἄνδρα χρὴ τολμᾶν ἀεί·
οὐδεὶς γὰρ ὢν ῥᾴθυμος εὐκλεὴς ἀνήρ,
ἀλλ' οἱ πόνοι τίκτουσι τὴν εὐδοξίαν. Eur. fr. 237.

159. Οὐκ ἔστιν ὅστις ἡδέως ζητῶν βιοῦν
εὔκλειαν εἰσεκτήσατ', ἀλλὰ χρὴ πονεῖν. Eur. fr. 238.

160. Πόνος γάρ, ὡς λέγουσιν, εὐκλείας πατήρ. Eur. fr. 474.

161. Πολλὰ δεῖ
μοχθεῖν τὸν ἥξοντ' εἰς ἔπαινον εὐκλεῶς·
ῥᾳθυμία δὲ τὴν παραυτίχ' ἡδονὴν
λαβοῦσα λύπας τῷ χρόνῳ τίκτειν φιλεῖ. Theodektes fr. 11.

162. Τί δὲ κάλλιον ἀνδρί κεν εἴῃ
ὀλβίῳ ἢ κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἀρέσθαι;
Theokr. 17,116.

XV. Eid.

163. Ὅρκοις τὰ μὴ δίκαια μὴ νικᾶν λέγω. Aesch. Eum. 432.

164. Οὐκ ἀνδρὸς ὅρκοι πίστις ἀλλ' ὅρκων ἀνήρ. Aesch. fr. 394.

165. Βροτοῖσιν οὐδέν ἐστ' ἀπώμοτον·
ψεύδει γὰρ ἡ 'πίνοια τὴν γνώμην. Soph. Ant. 388.

166. Ὅρκους ἐγὼ γυναικὸς εἰς ὕδωρ γράφω. Soph. fr. 742.

167. Ὅρκος γὰρ οὐδεὶς ἀνδρὶ φηλήτῃ βαρύς. Soph. fr. 847.

168. Ὅταν τις ὀμνύοντος καταφρονῇ,
ᾧ μὴ σύνοιδε πρότερον ἐπιωρκηκότι,
οὗτος καταφρονεῖν τῶν θεῶν ἐμοὶ δοκεῖ
καὶ πρότερον ὀμόσας αὐτὸς ἐπιωρκηκέναι.
Antiphanes fr. 241.

169. Ὅστις γὰρ ὀμνύοντι μηδὲν πείθεται,
αὐτὸς ἐπιορκεῖν ῥᾳδίως ἐπίσταται. Amphis fr. 42.

170. Οὐ τοῖς γὰρ ὀμνύουσι τὸν φρονοῦντα δεῖ,
τοῖς πράγμασιν δ' αὐτοῖσι πιστεύειν ἀεί. Alexis fr. 160.

XVI. Einsamkeit, Zurückgezogenheit, Landleben.

171. Ζηλῶ δ' ἀνδρῶν ὃς ἀκίνδυνος
βίον ἐξεπέρασ' ἀγνὼς ἀκλεής·
τοὺς δ' ἐν τιμαῖς ἧσσον ζηλῶ. Eur. I. A. 17.

172. Εἶτ' οὐχὶ χρυσοῦν ἐστι πρᾶγμ' ἐρημία;
ὁ πατήρ γε τοῦ ζῆν ἐστιν ἀνθρώποις ἀγρός,
πενίαν τε συγκρύπτειν ἐπίσταται μόνος·
ἄστυ δὲ θέατρον ἀτυχίας σαφοῦς γέμον. Amphis fr. 17.

173. Ἐγὼ τὸν ἀγρὸν ἰατρὸν ἐλελήθειν ἔχων·
τρέφει γὰρ οὗτος ὥσπερ ἀρρωστοῦντά με,
σιτάρια μικρὰ προσφέρων οἶνου θ' ὅσον
ὀσμήν, λαχάνου τ' ἀεί τι καὶ νὴ τὸν Δία
τὰ πετραῖα ταῦτ' ὀψάρια, κάππαριν, θύμον,
ἀσπάραγον, αὐτὰ ταῦτα· καὶ δέδοικα μὴ
λίαν ἀπισχναίνων με ποιήσῃ νεκρόν. Philemon fr. 98.

174. Ἆρ' ἔστιν ἀρετῆς καὶ βίου διδάσκαλος
ἐλευθέρου τοῖς πᾶσιν ἀνθρώποις ἀγρός; Menander fr. 408.

175. Ὡς ἡδὺ τῷ μισοῦντι τοὺς φαύλους τρόπους
ἐρημία, καὶ τῷ μελετῶντι μηδὲ ἓν
πονηρὸν ἱκανὸν πτῆμ' ἀγρὸς τρέφων καλῶς.
ἐκ τῶν ὄχλων δὲ ζῆλος, ἥτε κατὰ πόλιν
αὕτη τρυφὴ λάμπει μέν, ἐς δ' ὀλίγον χρόνον.
Menander fr. 466.

XVII. Eltern und Kinder.

176. Τὸ γὰρ τεκόντων σέβας
τρίτον τόδ' ἐν θεσμίοις
Δίκας γέγραπται μεγιστοτίμου. Aesch. Suppl. 707.

177. Δεινὸν τὸ τίκτειν ἐστίν· οὐδὲ γὰρ κακῶς
πάσχοντι μῖσος, ὧν τέκῃ, προσγίγνεται. Soph. El. 770.

178. Τὰ τῶν τεκόντων ὄμματ' ἥδιστον βλέπειν.
Soph. O. R. 999.

179. Τοῖς τεκοῦσι γὰρ
οὐδ' εἰ πονῇ τις, δεῖ πόνου μνήμην ἔχειν. Soph. O. C. 508.

180. Οἱ γὰρ εὐγενεῖς
κάμνουσι τοῖς αἰσχροῖσι τῶν τέκνων ὕπερ.
Eur. H. f. 292.

181. Δίκαια τοὺς τεκόντας ὠφελεῖν τέκνα
πατέρα τε πρέσβυν τήν τε κοινωνὸν γάμων.
Eur. H. f. 583.

182. Τοῖς τεκοῦσι γὰρ
δύστηνος ὅστις μὴ ἀντιδουλεύει τέκνων,
κάλλιστον ἔρανον· δοὺς γὰρ ἀντιλάζυται
παίδων παρ' αὐτοῦ τοιάδ' ἂν τοκεῦσι δῷ.
Eur. Suppl. 361.

183. Πατρὶ δ' οὐδὲν ἥδιον
γέροντι θυγατρὸς· ἀρσένων δὲ μείζονες
ψυχαί, γλυκεῖαι δ' ἧσσον εἰς θωπεύματα.
Eur. Suppl. 1101.

184. Δεινὸν τὸ τίκτειν καὶ φέρει φίλτρον μέγα
πᾶσιν τε κοινόν, ὥσθ' ὑπερκάμνειν τέκνων.
Eur. I. A. 917.

185. Πᾶσιν γὰρ ἀνθρώποισι φιλότεκνος βίος,
οὐδ' ἂν τὸν αὑτοῦ παῖδά τις δοίη κτανεῖν.
Eur. Phoen. 965.

186. Ὅστις δὲ τοὺς τεκόντας ἐν βίῳ σέβει,
ὅδ' ἐστὶ καὶ ζῶν καὶ θανὼν θεοῖς φίλος·

ὅστις δὲ τοὺς φύσαντας μὴ τιμᾶν θέλῃ,
μή μοι γένοιτο μήτε συνθυτὴς τοῖς θεοῖς
μήτ' ἐν θαλάσσῃ κοινόπλουν στέλλοι σκάφος.
Eur. fr. 852.

187. Ὡς ἡδὺ πατέρα παισὶν ἥπιον κυρεῖν
καὶ παῖδας εἶναι πατρὶ μὴ στυγουμένους. Eur. fr. 950.

188. Ἢ καλὸν ὄκκα πέλῃ τέκνα γονεῦσιν ἴσα.
(Anth. Pal. 6,353.)

XVIII. Entschluss, Vorhaben.

189. Ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ.
Hom. Il. 18,328.

190. Κἀν βροτοῖς
αἱ δεύτεραί πως φροντίδες σοφώτεραι. Eur. Hipp. 435.

191. Ἀπὸ τῶν θεῶν ἀρχὴν δὲ ποιεῖσθαι πρέπον.
Theodektes fr. 7.

192. Εἰ πάντες ἀποθανούμεθ' οἷς μὴ γίνεται
ἃ βουλόμεσθα, πάντες ἀποθανούμεθα. Philemon fr. 69.

193. Φθάνοντος ἔργον γίνεται. Fr. com. ad. 668.

194. Ἡ βραδύπους βουλὴ μέγ' ἀμείνων· ἡ δὲ ταχεῖα
αἰὲν ἐφελκομένη τὴν μετάνοιαν ἔχει. Lukian Epigr. 16.

XIX. Erinnerung.

195. Ἀκίνδυνοι δ' ἀρεταὶ
οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις
τίμιαι· πολλοὶ δὲ μέμνανται, καλὸν εἴ τι ποναθῇ.
Pindar Ol. 6,14.

196. Μοχθοῦ γὰρ οὐδεὶς τοῦ παρελθόντος λόγος.
Soph. fr. 346.

197. Τὰ γὰρ φθιτῶν τοῖς ὁρῶσι κόσμος. Eur. Suppl. 78.

198. Οὐ χρὴ τὰ πρόσθεν ἐν μνήμῃ φέρειν κακά.
Men. mon. 435.

XX. Feindschaft.

199. Πάσχειν δὲ κακῶς
ἐχθρὸν ὑπ' ἐχθροῦ οὐδὲν ἀεικές. Aesch. Prom. 1044.

200. Οὔκουν γέλως ἥδιστος εἰς ἐχθροὺς γελᾶν; Soph. Aj. 79.

201. Ἐκ γὰρ εὐτυχοῦς
ἥδιστον ἐχθρὸν ἄνδρα δυστυχοῦνθ' ὁρᾶν. Eur. Her. 939.

202. Τὴν δ' εὐσέβειαν εὐτυχοῦσι μὲν καλὸν
τιμᾶν· ὅταν δὲ πολεμίους δρᾶσαι κακῶς
θέλῃ τις, οὐδεὶς ἐμποδὼν κεῖται νόμος. Eur. Ion. 1045.

203. Ἀλλ' ἀπ' ἐχθρῶν δῆτα πολλὰ μανθάνουσιν οἱ σοφοί·
ἡ γὰρ εὐλάβεια σώζει πάντα, παρὰ μὲν οὖν φίλου
οὐ μάθοις ἂν τοῦθ', ὁ δ' ἐχθρὸς εὐθὺς ἐξηνάγκασεν.
αὐτίχ' αἱ πόλεις παρ' ἀνδρῶν ἔμαθον ἐχθρῶν κοὐ φίλων
ἐκπονεῖν θ' ὑψηλὰ τείχη ναῦς τε κεκτῆσθαι μακράς·
τὸ δὲ μάθημα τοῦτο σώζει παῖδας, οἶκον, χρήματα.
Ar. Av. 376.

204. Ἀθάνατον ἔχθραν μὴ φύλαττε θνητὸς ὤν. Men. mon. 4.

XXI. Fleiss, Thätigkeit.

205. Τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅς κεν ἀεργὸς
ζώῃ, κηφήνεσσι κοθούροις εἴκελος ὀργήν,
οἵτε μελισσάων κάματον τρύχουσιν ἀεργοὶ
ἔσθοντες· σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν,
ὥς κέ τοι ὡραίου βιότου πλήθωσι καλιαί.
ἐξ ἔργων δ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε·
καί τ' ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισιν.
ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος.
Hes. Op. 303.

206. Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο,
καὶ θᾶμα τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο.
Hes. Op. 361.

207. Πολλὰ δ' ἀεργὸς ἀνὴρ, κενεὴν ἐπ' ἐλπίδα μίμνων,
χρηΐζων βιότοιο, κακὰ προσελέξατο θυμῷ.
ἐλπὶς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει,
ἥμενον ἐν λέσχῃ, τῷ μὴ βίος ἄρκιος εἴη. Hes. Op. 498.

208. Πάντα πόνος τεύχει θνητοῖς μελέτη τε βροτείη.
Archilochus fr. 15.

209. Χρόνος δὲ φευγέτω σε μηδὲ εἷς ἀργός. Hipponax fr. 28.

210. Ἱερά τοι μαθήσιος ἀρχά. Alcman fr. 63.

211. Φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεός. Aesch fr. 395.

212. Ὅρα, πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ. Soph. El. 945.

213. Τὸ γὰρ
περισσὰ πράττειν οὐκ ἔχει νοῦν οὐδένα. Soph. Ant. 67.

214. Πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς. Soph. fr. 345.

215. Οὐκ ἔστι τοῖς μὴ δρῶσι σύμμαχος τύχη. Soph. fr. 374.

216. Ἔργου δὲ παντὸς ἦν τις ἄρχηται καλῶς,
καὶ τὰς τελευτὰς εἰκὸς ἐσθ' οὕτως ἔχειν. Soph. fr. 747.

217. Πολλῶν πόνων δεῖ τῷ καλόν τι μωμένῳ,
μικροῦ δ' ἀγῶνος οὐ μέγ' ἔρχεται κλέος. Soph. fr. 852.

218. Οὐδεὶς ἐπλούτησ' ἐμπύροισιν ἀργὸς ὤν. Eur. Hel. 756.

219. Τὸ πολλὰ πράσσειν οὐκ ἐν ἀσφαλεῖ βίου. Eur. Hipp. 785.

220. Τοὺς πόνους γὰρ ἀγαθοὶ
τολμῶσι, δειλοὶ δ' εἰσὶν οὐδὲν οὐδαμοῦ. Eur. I. T. 114.

221. Κακῆς ἀπ' ἀρχῆς γίγνεται τέλος κακόν. Eur. fr. 32.

222. Μοχθεῖν ἀνάγκη τοὺς θέλοντας εὐτυχεῖν. Eur. fr. 701.

223. Οὐκ ἔστιν οὐδὲν τῶν ἐν ἀνθρώποις, ὅ τι
οὐκ ἐν χρόνῳ ζητοῦσιν ἐξευρίσκεται. Chaeremon fr. 21.

224. Τῶν πόνων πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί.
Epicharm (Stob. 29,8).

225. Ἀ δὲ μελέτα φύσιος ἀγαθᾶς πλεῦνα δωρεῖται, φίλοι.
Epicharm (Stob. 29,54).

226. Ὅστις ἥδεται γὰρ ἐσθίων
ὁσημέραι, δεῖ καὶ πονεῖν τῶν σιτίων
ἐπάξιόν τι μηδὲ περινοστεῖν σχολήν
ἄγοντα, τῷ ζῆν πολεμιώτατον κακόν. Alexis fr. 28.

227. Ἅπαντα τὰ ζητούμεν' ἐξευρίσκεται,
ἂν μὴ προαποστῇς μηδὲ τὸν πόνον φύγῃς·
ὅπου γὰρ εὑρήκασιν ἄνθρωποί τινες
μέρος τι τῶν θείων τοσοῦτο τῷ τόπῳ
ἀπέχοντες, ἄστρων ἐπιτολάς, δύσεις, τροπάς,
ἔκλειψιν ἡλίου, τί τῶν κοινῶν κάτω
καὶ συγγενικῶν δύναιτ' ἂν ἄνθρωπον φυγεῖν;
Alexis fr. 30.

228. Τὰ κακῶς τρέφοντα χωρὶ' ἀνδρείους ποιεῖ.
Menander fr. 63.

229. Τοῖς συμμέτροις μὲν αὔξεται ψυχὴ πόνοις,
τοῖσιν δ' ὑπερβάλλουσι καὶ βαπτίζεται. Fr. com. ad. 358.

230. Ἐκ θαμινᾶς ῥαθάμιγγος, ὅκως λόγος, ἀεναίσας
χὰ λίθος ἐς ῥωχμὸν κοιλαίνεται. Bion fr. 2.

231. Οὐ καλόν, ὦ φίλε, πάντα χρόνον ποτὶ τέκτονα φοιτῆν,
μηδ' ἐπὶ πάντ' ἄλλω χρέος ἰσχέμεν, ἀλλὰ καὶ αὐτὸς
τεχνᾶσθαι σύριγγα, πέλει δέ τοι εὐμαρὲς ἔργον. Bion fr. 3.

XXII. Freundschaft.

232. Ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου. Hom. Il. 15,404.

233. Ὡς ἀεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.
Hom. Od. 17,218.

234. Ἀλλὰ δόκει μὲν πᾶσιν ἀπὸ γλώσσης φίλος εἶναι,
χρῆμα δὲ συμμίξῃς μηδενὶ μηδ' ὁτιοῦν
Σπουδαίων. Theogn. 64.

235. Πολλοί τοι πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι,
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι. Theogn. 115.

236. Εἶθ' ἑξῆν, ὁποῖός τις ἦν ἕκαστος
τὸ στῆθος διελόντ', ἔπειτα τὸν νοῦν
ἐσιδόντα, κλείσαντα πάλιν,
ἄνδρα φίλον νομίζειν ἀδόλῳ φρενί. Skol. adesp. 7.

237. Ὅστις ἄνδρα φίλον μὴ προδίδωσιν, μεγάλαν ἔχει
τιμὰν ἔν τε βροτοῖς ἔν τε θεοῖσιν κατ' ἐμὸν νόον.
Skol adesp. 26.

238. Τὸ συγγενές τοι δεινὸν ἦ θ' ὁμιλία. Aesch. Prom. 39.

239. Καὶ δὴ φίλον τις ἔκταν' ἀγνοίας ὕπο. Aesch Suppl 499.

240. Τοῖς πολλοῖσι γὰρ
βροτῶν ἄπιστός ἐσθ' ἑταιρείας λιμήν. Soph Aj. 682.

241. Οὐ γὰρ δίκαιον οὔτε τοὺς κακοὺς μάτην
χρηστοὺς νομίζειν οὔτε τοὺς χρηστοὺς κακούς.
φίλον γὰρ ἐσθλὸν ἐκβαλεῖν ἴσον λέγω
καὶ τὸν παρ' αὑτῷ βίοτον, ὃν πλεῖστον φιλεῖ.
ἀλλ' ἐν χρόνῳ γνώσει τάδ' ἀσφαλῶς· ἐπεὶ
χρόνος δίκαιον ἄνδρα δείκνυσι μόνος,
κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ. Soph. O. R. 608.

242. Λόγοις δ' ἐγὼ φιλοῦσαν οὐ στέργω φίλην. Soph. Ant 543.

243. Τί γὰρ
γένοιτ' ἂν ἕλκος μεῖζον ἢ φίλος κακός; Soph Ant 651.

244. Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι. Soph. fr. 667.

245. Φίλων γὰρ οὐδὲν ἴδιον οἵτινες φίλοι
ὀρθῶς πεφύκασ', ἀλλὰ κοινὰ χρήματα. Eur. Andr 376.

246. Τὸ συγγενὲς γὰρ δεινόν, ἔν τε τοῖς κακοῖς
οὐκ ἔστιν οὐδὲν κρεῖσσον οἰκείου φίλου. Eur. Andr 985.

247. Δεινόν γε, θνητοῖς ὡς ἅπαντα συμπίτνει,
καὶ τὰς ἀνάγκας οἱ νόμοι διώρισαν,
φίλους τιθέντες τούς γε πολεμιωτάτους
ἐχθρούς τε τοὺς πρὶν εὐμενεῖς ποιούμενοι. Eur. Hec. 846.

248. Ἐν τοῖς κακοῖς γὰρ ἀγαθοὶ σαφέστατοι
φίλοι· τὰ χρηστὰ δ' αὖθ' ἕκαστ' ἔχει φίλους.
Eur. Hec. 1226.

249. Πένητας οὐδεὶς βούλεται κτᾶσθαι φίλους. Eur. El. 1131.

250. Τῶν φίλων γὰρ οὕνεκα
ὀργὰς δικαίας τοὺς φίλους ἔχειν χρεών. Eur. H. f. 275.

251. Φίλοι γάρ εἰσιν ἀνδρὶ δυστυχεῖ τίνες; Eur. H. f. 559.

252. Ἄφιλον, ἵν' αὖθίς σοι λέγω, τὸ δυστυχές. Eur. H. f. 561.

253. Ὅστις δὲ πλοῦτον ἢ σθένος μᾶλλον φίλων
ἀγαθῶν πεπᾶσθαι βούλεται, κακῶς φρονεῖ. Eur. H. f. 1425.

254. Φεῦ, χρὴν βροτοῖσι τῶν φίλων τεκμήριον
σαφές τι κεῖσθαι καὶ διάγνωσιν φρενῶν,
ὅστις τ' ἀληθὴς ἐστὶν ὅς τε μὴ φίλος·
δισσάς τε φωνὰς πάντας ἀνθρώπους ἔχειν,
τὴν μὲν δικαίαν, τὴν δ' ὅπως ἐτύγχανεν,
ὡς ἡ φρονοῦσα τἄδικ' ἐξηλέγχετο
πρὸς τῆς δικαίας, κοὐκ ἂν ἠπατώμεθα. Eur. Hipp. 925.

255. Νοῦς δέ γ' οὐ βέβαιος ἄδικον κτῆμα κοὐ σαφὲς φίλοις.
Eur. I. A. 334.

256. Ἄνδρα δ' οὐ χρεὼν
τὸν ἀγαθὸν πράσσοντα μεγάλα τοὺς τρόπους μεθιστάναι,
ἀλλὰ καὶ βέβαιον εἶναι τότε μάλιστα τοῖς φίλοις,
ἡνίκ' ὠφελεῖν μάλιστα δυνατός ἐστιν εὐτυχῶν.
Eur. I. A. 345.

257. Ἐς κοινὸν ἀλγεῖν τοῖς φίλοισι χρὴ φίλους.
Eur. I. A. 408.

258. Τὰ τῶν φίλων
αἴσχιστον ὅστις καταβαλὼν εἰς ξυμφορὰς
αὐτὸς σέσωσται· τυγχάνει δ' ὅδ' ὢν φίλος,
ὃν οὐδὲν ἧσσον ἢ 'μὲ φῶς ὁρᾶν θέλω. Eur. I. T. 605.

259. Σὺν τοῖς φίλοις γὰρ ἡδὺ μὲν πράσσειν καλῶς·
ὃ μὴ γένοιτο δ', εἴ τι τυγχάνοι κακόν,
εἰς ὄμματ' εὔνου φωτὸς ἐμβλέψαι γλυκύ. Eur. Ion. 730.

260. Οἴμοι, κακούργους ἄνδρας ὡς ἀεὶ στυγῶ,
οἳ συντιθέντες τἄδικ' εἶτα μηχανὰς
κοσμοῦσι. φαῦλον χρηστὸν ἂν λαβεῖν φίλον
θέλοιμι μᾶλλον ἢ κακὸν σοφώτερον. Eur. Ion. 832.

261. Οὗτοι θράσος τόδ' ἐστὶν οὐδ' εὐτολμία,
φίλους κακῶς δράσαντ' ἐναντίον βλέπειν,
ἀλλ' ἡ μεγίστη τῶν ἐν ἀνθρώποις νόσων
πασῶν, ἀναίδεια. Eur. Med. 469.

262. Δεινή τις ὀργὴ καὶ δυσίατος πέλει,
ὅταν φίλοι φίλοισι συμβάλωσ' ἔριν. Eur. Med. 520.

263. Πένητα φεύγει πᾶς τις ἐκποδὼν φίλος. Eur. Med. 561.

264. Ἀχάριστος ὅλοιθ' ὅτῳ πάρεστι
μὴ φίλους τιμᾶν καθαρὰν ἀνοί-
ξαντα κλῆδα φρενῶν· ἐμοὶ
μὲν φίλος οὔποτ' ἔσται. Eur. Med. 659.

265. Ὄνομα γάρ, ἔργον δ' οὐκ ἔχουσιν οἱ φίλοι
οἱ μὴ 'πὶ ταῖσι συμφοραῖς ὄντες φίλοι. Eur. Or. 454.

266. Τοὺς φίλους
ἐν τοῖς κακοῖς χρὴ τοῖς φίλοισιν ὠφελεῖν·
ὅταν δ' ὁ δαίμων εὖ διδῷ, τί δεῖ φίλων;
ἀρκεῖ γὰρ αὐτὸς ὁ θεὸς ὠφελεῖν θέλων. Eur. Or. 665.

267. Οὐκ ἔστιν οὐδὲν κρεῖσσον ἢ φίλος σαφὴς,
οὐ πλοῦτος, οὐ τυραννίς· ἀλόγιστον δέ τι
τὸ πλῆθος ἀντάλλαγμα γενναίου φίλου. Eur. Or. 1155.

268. Ἀπωθεῖν συμμάχους ἐπίφθονον. Eur. Rhes. 334.

269. Εὖ πρᾶσσε· τὰ φίλων δ' οὐδέν, ἢν τι δυστυχῇς.
Eur Phoen. 403.

270. Ὅταν φίλος τις ἀνδρὶ θυμωθεὶς φίλῳ
εἰς ἓν συνελθὼν ὄμματ' ὄμμασιν διδῷ,
ἐφ' οἷσιν ἦκει, ταῦτα χρὴ μόνον σκοπεῖν,
κακῶν δὲ τῶν πρὶν μηδενὸς μνείαν ἔχειν. Eur. Phoen. 461.

271. Ἐπίσταμαι δὲ καὶ πεπείραμαι λίαν,
ὡς τῶν ἐχόντων πάντες ἄνθρωποι φίλοι. Eur. fr. 462.

272. Νοῦν ἔχοντος ἦν ἄρα
φίλον πρίασθαι χρημάτων πολλῶν σαφῆ. Eur. fr. 934.

273. Ὡς χαλεπόν εἰσιν οἱ φίλοι
οἱ φαινόμενοι παραχρῆμ', ὅταν πράττῃ τις εὖ·
νυττοῦσι γὰρ καὶ φλῶσι τἀντικνήμια
ἐνδεικνύμενος ἕκαστος εὔνοιάν τινα. Ar. Plut. 782.

274. Καθάπερ οἱ νοσοῦντες ἀλγοῦντες σφόδρα
τὸν ἰατρὸν ἂν ἴδωσιν, οὐκ ἀλγοῦσ' ἔτι,
οὕτως, ἐπάν τις τυγχάνῃ λυπούμενος,
ἥττον ὀδυνᾶται, φίλον ἐὰν παρόντ' ἴδῃ. Philemon fr. 108.

275. Χρυσὸς μὲν οἶδεν ἐξελέγχεσθαι πυρί,
ἡ δ' ἐν φίλοις εὔνοια καιρῷ κρίνεται. Menander fr. 691.

276. Καιρῷ τὸν εὐτυχοῦντα κολακεύων φίλος
καιροῦ φίλος πέφυκεν, οὐχὶ τοῦ φίλου. Menander fr. 692.

277. Φρόνησιν ἀσκῶν ἄφροσιν μὴ χρῶ φίλοις,
ἐπεὶ κεκλήσει καὶ σὺ παντελῶς ἄφρων. Menander fr. 694.

278. Κρίνει φίλους ὁ καιρός, ὡς χρυσὸν τὸ πῦρ.
Men. mon. 276.

279. Λύπης ἰατρός ἐστιν ὁ χρηστὸς φίλος. Men. mon. 577.

280. Ἰδίας νόμιζε τῶν φίλων τὰς συμφοράς. Men. mon. 673.

281. Οἶδε θηρεύειν φίλους,
ὃς πᾶσιν εὖ πράττουσι μὲν συνήδεται,
πεπονθόσιν δ' οἰ' οὐκ ἔδει συνάχθεται. Fr com. ad. 351.

282. Οὐδὲν ἐν ἀνθρώποισι Φύσις χαλεπώτερον εὗρεν
ἀνθρώπου καθαρὰν ψευδομένου φιλίην·
οὐ γὰρ ἔθ' ὡς ἐχθρὸν προφυλασσόμεθ' ἀλλ' ἀγαπῶντες
ὡς φίλον, ἐν τούτῳ πλείονα βλαπτόμεθα.
Lukian Epigr. 10.

283. Οὐχ οὕτω βλάπτει μισεῖν ὁ λέγων ἀναφανδόν,
ὥσπερ ὁ τὴν καθαράν ψευδόμενος φιλίαν.
τὸν μὲν γὰρ μισοῦντα προειδότες ἐκτρεπόμεσθα,
τὸν δὲ λέγοντα φιλεῖν οὐ προφυλασσόμεθα.
ἐχθρὸν ἐγὼ κρίνω κεῖνον βαρύν, ὅς ποτε λάθρᾳ
τὴν ἀπὸ τῆς φιλίας πίστιν ἔχων ἀδικεῖ.
(Anth. Pal. 10,121.)

284. Πρᾶγμα μέν ἐσθ' ὁ φίλος πάνυ δύσκολον· εἰσὶ δὲ πολλοὶ
καὶ σχεδὸν οἱ πάντες μέχρι προσηγορίας.
(Anth. Pal. 10,125.)

285. Εἴ με φιλεῖς, ἔργῳ με φίλει, καὶ μή μ' ἀδικήσῃς,
ἀρχὴν τοῦ βλάπτειν τὴν φιλίαν θέμενος.
πᾶσι γὰρ ἀνθρώποισιν ἐγὼ πολὺ κρέσσονά φημι
τὴν φοβερὰν ἔχθραν τῆς δολερῆς φιλίας.
φασὶ δὲ καὶ νήεσσιν ἁλιπλανέεσσι χερείους
τὰς ὑφάλους πέτρας τῶν φανερῶν σπιλάδων.
(Anth. Pal. 11,390.)

XXIII. Frömmigkeit, Tugend.

286. Ὅς κε θεοῖς ἐπιπείθηται, μάλα τ' ἔκλυον αὐτοῦ.
Hom. Il. 1,218.

287. Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε μινύθει τε,
ὅππως κεν ἐθέλῃσιν· ὁ γὰρ κάρτιστος ἁπάντων.
Hom. Il. 20,242.

288. Τὴν μέν τοι κακότητα καὶ ἱλαδὸν ἔστιν ἑλέσθαι
ῥηϊδίως· λείη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει.
τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν
ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτὴν
καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
ῥηϊδίη δὴ ἔπειτα πέλει, χαλεπὴ περ ἐοῦσα. Hes. Op. 287.

289. Πολλοὶ γὰρ πλουτεῦσι κακοί, ἀγαθοί τε πένονται·
ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον ἀεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.
Solon fr. 15.

290. Φάσομαι
πιστὸν κῦδος ἔχειν ἀρετάν·
πλοῦτος δὲ καὶ δειλοῖσιν ἀνθρώπων ὁμιλεῖ.
Bacchylides fr. 30.

291. Δεινὸς ὃς θεοὺς σέβει. Aesch. Spt. 596.

292. Μόνον φύλαξαι τάσδ' ἐπιστολὰς πατρός,
τὸ σωφρονεῖν τιμῶσα τοῦ βίου πλέον. Aesch. Suppl. 1012.

293. Οὐκ ἂν γένοιτο νοῦς κακὸς καλῶς φρονῶν.
Soph. O. R. 600.

294. Ἀρετῆς βέβαιαι δ' εἰσὶν αἱ κτήσεις μόνης. Soph. fr. 195.

295. Τὸ σωφρονεῖν δὲ καὶ σέβειν τὰ τῶν θεῶν
κάλλιστον· οἶμαι δ' αὐτὸ καὶ σοφώτατον
θνητοῖσιν εἶναι κτῆμα τοῖσι χρωμένοις. Eur Bacch. 1150.

296. Τοὺς θεοὺς ἔχων τις ἂν
φίλους ἀρίστην μαντικὴν ἔχοι δόμοις. Eur. Hel. 759.

297. Ἃ δ' ἀρετὰ βαίνει διὰ μόχθων. Eur. Her. 625.

298. Ἀρετὴ δ' οὐδὲν φέρει
βροτοῖσιν, ἢν μὴ τὸν θεὸν χρῄζοντ' ἔχῃ. Eur. Suppl. 596.

299. Μόνον δὲ τοῦτό φασ' ἁμιλλᾶσθαι βίῳ,
γνώμην δικαίαν κἀγαθήν, ὅτῳ παρῇ.
κακοὺς δὲ θνητῶν ἐξέφην', ὅταν τύχῃ,
προθεὶς κάτοπτρον ὥστε παρθένῳ νέᾳ
χρόνος· παρ' οἷσι μήποτ' ὀφθείην ἐγώ. Eur. Hipp. 426.

300. Φεῦ φεῦ· τὸ σῶφρον ὡς ἅπανταχοῦ καλὸν
καὶ δόξαν ἐσθλὴν ἐν βροτοῖς καρπίζεται. Eur. Hipp. 431.

301. Οὗτοι νόμισμα λευκὸς ἄργυρος μόνον
καὶ χρυσός ἐστιν, ἀλλὰ κἀρετὴ βροτοῖς
νόμισμα κεῖται πᾶσιν, ᾗ χρῆσθαι χρεών. Eur. fr. 542.

302. Ἀρετὴ δὲ κἂν θάνῃ τις οὐκ ἀπόλλυται,
ζῇ δ' οὐκέτ' ὄντος σώματος· κακοῖσι δὲ
ἅπαντα φροῦδα συνθανόνθ' ὑπὸ χθονός. Eur. fr. 734.

303. Οὐκ ἔστιν ἀρετῆς κτῆμα τιμιώτερον·
οὐ γὰρ πέφυκε δοῦλον οὔτε χρημάτων
οὔτ' εὐγενείας οὔτε θωπείας ὄχλου·
ἀρετὴ δ' ὅσῳπερ μᾶλλον ἂν χρῆσθαι θέλῃς,
τοσῷδε μεῖζον αὔξεται τελουμένη. Eur. fr. 1029.

304. Ἀρετὴ μέγιστον τῶν ἐν ἀνθρώποις καλόν. Eur. fr. 1030.

305. Ὀλίγον τὸ χρηστόν ἐστιν. Ar. Ran. 783.

306. Τὸ μὴ συνειδέναι γὰρ αὐτοῦ τῷ βίῳ
ἀδίκημα μηδὲν ἡδονὴν πολλὴν ἔχει. Antiphanes fr. 269.

307. Βέβαιον ἕξεις τὸν βίον δίκαιος ὤν,
χωρίς τε φορύβου καὶ φόβου ζήσεις καλῶς.
Antiphanes fr. 330.

308. Ἀνὴρ δίκαιός ἐστιν οὐχ ὁ μὴ ἀδικῶν,
ἀλλ' ὅστις ἀδικεῖν δυνάμενος μὴ βούλεται·
οὐδ' ὃς τὰ μικρὰ λαμβάνειν ἀπέσχετο,
ἀλλ' ὃς τὰ μεγάλα καρτερεῖ μὴ λαμβάνων,
ἔχειν δυνάμενος καὶ κρατεῖν ἀζημίως·
οὐδ' ὅς γε ταῦτα πάντα διατηρεῖ μόνον,
ἀλλ' ὅστις ἄδολον γνησίαν τ' ἔχων φύσιν
εἶναι δίκαιος κοὐ δοκεῖν εἶναι θέλει. Philemon fr. 94.

309. Ἀνδρὸς δικαίου καρπὸς οὐκ ἀπόλλυται. Men. mon. 27.

310. Ὡς ἡδὺ συνέσει χρηστότης κεκραμένη. Menander fr. 785.

311. Στοιχεῖα ταῦτα τῆς ἀρετῆς ἐστιν δύο,
ἐλπίς τε τιμῆς καὶ φόβος τιμωρίας. Fr. com. ad. 163.

312. Χρυσὸς γὰρ νόθου
ἀρετῆς ἔλεγχός ἐστιν ἀψευδέστατος. Fr. com. ad. 195.

313. Μήτε βαθυκτεάνοιο τύχης κουφίζεο ῥοίζῳ,
μήτε σέο γνάμψῃ φροντὶς ἐλευθερίην.
πᾶς γὰρ ὑπ' ἀσταθέεσσι βίος πολεμίζεται αὔραις,
τῇ καὶ τῇ θαμινῶς ἀντιμεθελκόμενος.
ἡ δ' ἀρετὴ σταθερόν τι καὶ ἄτροπον, ἧς ἐπὶ μούνης
κύματα θαρσαλέως ποντοπόρει βιότου.
(Anth. Pal 10,74.)

XXIV. Gebet, Opfer.

314. Ὦ τέκος, ἦ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι
ἀθανάτοις. Hom. Il. 24,425.

315. Κἀδδύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσι. Hes. Op. 336.

316. Μελάναιγις οὐκ
εἰσι δόμους Ἐρινύς, ὅταν ἐκ χερῶν
θεοὶ θυσίαν δέχωνται. Aesch. Spt. 699.

317. Εὖ ἴσθ', ὅταν τις εὐσεβῶν θύῃ θεοῖς,
κἂν μικρὰ θύῃ, τυγχάνει σωτηρίας. Eur. fr. 946.

318. Τίς ὧδε μῶρος καὶ λίαν ἀνειμένως
εὔπιστος ἀνδρῶν, ὅστις ἐλπίζει θεοὺς
ὀστῶν ἀσάρκων καὶ χόλης πυρουμένης,
ἃ καὶ κυσὶν πεινῶσιν οὐχὶ βρώσιμα,
χαίρειν ἀπάτῃ καὶ γέρας λαχεῖν τόδε
χάριν τε τούτων τοῖσι δρῶσιν ἐκτίνειν;
Fr. com. ad. 1205.

XXV. Geduld, Ergebung, Gottvertrauen.

319. Μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι,
ἠὲ κασίγνητον ὁμογάστριον ἠὲ καὶ υἱόν·
ἀλλ' ἤτοι κλαύσας καὶ ὀδυράμενος μεθέηκεν·
τλητὸν γὰρ Μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν.
Hom. Il. 24,46.

320. Ὅμως δ' ἀνάγκη πημονὰς βροτοῖς φέρειν
θεῶν διδόντων. Aesch. Pers. 293.

321. Αἶσχη μέν, ὦ γυναῖκες, οὐδ' ἂν εἷς φύγοι
βροτῶν πόθ', ᾧ καὶ Ζεὺς ἐφορμήσῃ κακά·
νόσους δ' ἀνάγκη τὰς θεηλάτους φέρειν. Soph. fr. 619.

322. Στέργειν δὲ τἀκπεσόντα καὶ θέσθαι πρέπει
σοφὸν κυβευτὴν ἀλλὰ μὴ στένειν τύχην. Soph. fr. 861.

323. Σοφόν τοι κἀν κακοῖς ἃ δεῖ φρονεῖν. Eur. Hec. 228.

324. Σύμφορον δέ σοι
ὡς ῥᾷστα τἀναγκαῖα τοῦ βίου φέρειν. Eur. Hel. 253.

325. Ὅστις εὐγενὴς βροτῶν,
φέρει τὰ θεῶν γε πτώματ' οὐδ' ἀναίνεται. Eur. H. f. 1227.

326. Θάρσει τέκνον, καὶ μὴ χαλεπῶς
μετάβαλλε δέμας·
ῥᾷον δὲ νόσον μετὰ θ' ἡσυχίας
καὶ γενναίου λήματος οἴσεις·
μοχθεῖν δὲ βροτοῖσιν ἀνάγκη. Eur. Hipp. 203.

327. Ὅτῳ δ' ἐλαύνεται
συμφοραῖς οἶκος, σέβοντα δαίμονας θαρσεῖν χρεών·
εἰς τέλος γὰρ οἱ μὲν ἐσθλοὶ τυγχάνουσιν ἀξίων,
οἱ κακοὶ δ', ὥσπερ πεφύκασ', οὔποτ εὖ πράξειαν ἄν.
Eur. Ion. 1619.

328. Μοχθεῖν ἀνάγκη· τὰς δὲ δαιμόνων τύχας
ὅστις φέρει κάλλιστ', ἀνὴρ οὗτος σοφός. Eur. fr. 37.

329. Θάρσει, τάχ' ἂν γένοιτο· πολλά τοι θεὸς
κἀκ τῶν ἀέλπτων εὔπορ' ἀνθρώποις τελεῖ. Eur. fr. 100.

330. Τὰ προσπεσόντα δ' ὅστις εὖ φέρει βροτῶν,
ἄριστος εἶναι σωφρονεῖν τέ μοι δοκεῖ. Eur. fr. 505.

331. Ἔν ἐστι πάντων πρῶτον εἰδέναι τουτί,
φέρειν τὰ συμπίπτοντα μὴ παλιγκότως·
χοὗτός γ' ἀνὴρ ἄριστος αἵ τε συμφοραὶ
ἧσσον δάκνουσιν. ἀλλὰ ταῦτα γὰρ λέγειν
ἐπιστάμεσθα, δρᾶν δ' ἀμηχάνως ἔχει. Eur. fr. 772.

332. Ἀνδρῶν τάδ' ἐστὶν ἐνδίκων τε καὶ σοφῶν,
κἂν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς. Eur. fr. 1078.

333. Τὰ τῆς τύχης φέρειν δεῖ γνησίως τὸν εὐγενῆ.
Antiphanes fr. 281.

334. Πόλλ' ἔστιν ἐν πολλαῖσιν οἰκίαις κακά,
ἃ καλῶς ὅταν ἐνέγκῃς ἀγαθὰ γενήσεται.
Philemon fr. 161.

335. Μὴ θεομάχει, μηδὲ προσάγου τῷ πράγματι
χειμῶνας ἑτέρους, τοὺς δ' ἀναγκαίους φέρε.
Menander fr. 187.

336. Ὧν δὲ μὴ αἴτιος τρόπος,
τά γ' ἀπὸ τῆς τύχης φέρειν δεῖ γνησίως τὸν εὐγενῆ.
Menander fr. 205.

337. Τὸ δ' εὖ φέρειν
ἔστιν τοιοῦτον, ἂν δύνῃ μόνος φέρειν,
καὶ μὴ 'πίδηλον τὴν τύχην πολλοῖς ποιῇς.
Menander fr. 605.

338. Πειρῶ τύχης ἄνοιαν ἀνδρείως φέρειν. Menander fr. 812.

XXVI. Gefahr, Furcht.

339. Ὁ μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει.
Pindar Ol. 1,81.

340. Τίς γὰρ δεδοικὼς μηδὲν ἔνδικος βροτῶν; Aesch. Eum. 702.

341. Τὸ μὲν γὰρ αὐτὸν ἐκ κακῶν πεφευγέναι
ἥδιστον, ἐς κακὸν δὲ τοὺς φίλους ἄγειν
ἀλγεινόν. Soph. Ant. 437.

342. Ἐν παντὶ γάρ τοι σκορπίος φρουρεῖ λίθῳ. Soph. fr. 34.

343. Πάντα γάρ τοι τῷ φοβουμένῳ ψοφεῖ. Soph. fr. 58.

344. Ἀκούσατ'· οὐδεὶς αὐτὸς ἐν πόνοις ἀνὴρ
ὅταν τε πρὸς τὸ θάρσος ἐκ φόβου πέσῃ. Eur. I. T. 729.

345. Τὸ δ' αὖ δεδοικέναι
πρὸς ἀνδρὸς οὐδὲν ὑγιές ἐστ' εἰργασμένον. Ar. Plut. 355.

XXVII. Gehorsam, Ungehorsam.

346. Ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον.
Hom. Il. 1,274.

347. Πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας
μήτηρ, γονῆς σωτῆρος· ὧδ' ἔχει λόγος. Aesch. Spt. 224.

348. Τῶν κρατούντων ἐστὶ πάντ' ἀκουστέα. Soph. El. 340.

349. Ἀναρχίας δὲ μεῖζον οὐκ ἔστιν κακόν.
αὕτη πόλεις τ' ὀλλυσιν, ἥδ' ἀναστάτους
οἴκους τίθησιν· ἥδε συμμάχου δορὸς
τροπὰς καταρρήγνυσι· τῶν δ' ὀρθουμένων
σώζει τὰ πολλὰ σώμαθ' ἡ πειθαρχία. Soph. Ant. 672.

350. Νόμοις ἕπεσθαι τοῖσιν ἐγχώροις καλόν. Soph. fr. 851.

XXVIII. Gelegenheit.

351. Ὁ γὰρ καιρὸς πρὸς ἀνθρώπων βραχὺ μέτρον ἔχει.
Pind. Pyth. 4,286.

352. Ὁ δὲ καιρὸς ὁμοίως
παντὸς ἔχει κορυφάν. Pind. Pyth. 9,78.

353. Καιρὸς γάρ, ὅσπερ ἀνδράσι
μέγιστος ἔργου παντός ἐστ' ἐπιστάτης. Soph. El. 75.

XXIX. Genuss, Vergnügen.

354. Ἀλλὰ γὰρ ἀνάπαυσις ἐν παντὶ γλυκεῖα ἔργῳ· κόρον δ' ἔχει
καὶ μέλι καὶ τὰ τέρπν' ἄνθε' Ἀφροδίσια.
Pind. Nem. 7,52.

355. Τίς γὰρ ἁδονᾶς ἄτερ
θνατῶν βίος ποθεινὸς ἢ ποία τυραννίς;
τᾶς δ' ἄτερ οὐδὲ θεῶν ζαλωτὸς αἰών. Simonides fr. 71.

356. Τὰς γὰρ ἡδονὰς
ὅταν προδῶσιν ἄνδρες, οὐ τίθημ' ἐγὼ
ζῆν τοῦτον, ἀλλ' ἔμψυχον ἡγοῦμαι νεκρόν.
πλούτει τε γὰρ κατ' οἶκον, εἰ βούλει, μέγα,
καὶ ζῇ τύραννον σχῆμ' ἔχων· ἐὰν δ' ἀπῇ
τούτων τὸ χαίρειν, τἄλλ' ἐγὼ κάπνου σκιᾶς
οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονήν. Soph. Ant. 1165.

357. Βροτοῖσιν εὔκρας οὐ γένοιτ' ἂν ἡδονή. Eur. fr. 197.

358. Ὦ πονηρέ, μὴ τὰ μαλακὰ μῶσο, μὴ τὰ σκλήρ' ἔχῃς.
Epicharm (Xen. Mem. 2, 1,20).

359. Εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονάς,
καταλείπετ' οὐδὲν ἄλλο πλὴν τεθνηκέναι.
Theophilus fr. 12.

XXX. Gerechtigkeit.

360. Ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στιν.
Phokylides fr. 17.

361. Ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη,
ποία ξυνωρὶς τῆσδε καρτερωτέρα; Aesch. fr. 318.

362. Ξὺν τῷ δικαίῳ γὰρ μέγ' ἔξεστιν φρονεῖν. Soph. Aj. 1125.

363. Τοῖς τοι δικαίοις χὠ βραχὺς νικᾷ μέγαν.
Soph. O. C. 880.

364. Τοῖς γὰρ δικαίοις ἀντέχειν οὐ ῥᾴδιον. Soph. fr. 75.

365. Καὶ γὰρ δικαία γλῶσσ' ἔχει κράτος μέγα. Soph. fr. 77.

366. Ἐσθλοῦ γὰρ ἀνδρὸς τῇ δίκῃ θ' ὑπηρετεῖν
καὶ τοὺς κακοὺς δρᾶν πανταχοῦ κακῶς ἀεί.
Eur. Hec. 844.

367. Οὐδείς ποτ' εὐτύχησεν ἔκδικος γεγώς,
ἐν τῷ δικαίῳ δ' ἐλπίδες σωτηρίας. Eur. Hel. 1030.

368. Θάρσει· τὸ γάρ τοι τῆς Δίκης σώζων σέβας
πολλοὺς ὑπεκφύγοις ἂν ἀνθρώπων ψόγους.
Eur. Suppl. 564.

XXXI. Geschenk.

369. Δῶρα θεοὺς πείθει, δῶρ' αἰδοίους βασιλῆας. Hes. fr. 180.

370. Ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα. Soph. Aj. 665.

371. Κακοῦ γὰρ ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει. Eur. Med. 618.

372. Πείθειν δῶρα καὶ θεοὺς λόγος·
χρυσὸς δὲ κρείσσων μυρίων λόγων βροτοῖς. Eur. Med. 964.

373. Ἅπαν διδόμενον δῶρον, εἰ καὶ μικρὸν ᾖ,
μέγιστόν ἐστι μετ' εὐνοίας διδόμενον. Philemon fr. 168.

XXXII. Gesetz.

374. Νόμος ὁ πάντων βασιλεὺς
θνητῶν τε καὶ ἀθανάτων
ἄγει δικαιῶν τὸ βιαιότατον
ὑπερτάτᾳ χειρί. Pindar fr. 169.

375. Τὸ γάρ τοι συνέχον ἀνθρώπων πόλεις
τοῦτ' ἔσθ', ὅταν τις τοὺς νόμους σώζῃ καλῶς.
Eur. Suppl. 312.

376. Ὁ μηδὲν ἀδικῶν οὐδενὸς δεῖται νόμου. Antiphanes fr. 288.

377. Νόμον φοβηθεὶς οὐ ταραχθήσει νόμῳ. Menander fr. 858.

XXXIII. Gewinn, Vorteil.

378. Πέπνυο, μηδ' αἰσχροῖσιν ἐπ' ἔργμασι μηδ' ἀδίκοισιν
τιμὰς μηδ' ἀρετὰς ἕλκεο μηδ' ἄφενος. Theogn. 29.

379. Ὡς δ' ἅπαξ εἰπεῖν, φρένα καὶ πυκινὰν κέρδος ἀνθρώπων
βιᾶται. Bacchylides fr. 4.

380. Ἀλλ' ὑπ' ἐλπίδων
ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν. Soph. Ant. 221.

381. Ἐκ τῶν γὰρ αἰσχρῶν λημμάτων τοὺς πλείονας
ἀτωμένους ἴδοις ἂν ἢ σεσωσμένους. Soph. Ant. 313.

382. Τὰ δειλὰ κέρδη πημονὰς ἐργάζεται. Soph. Ant. 326.

383. Ζημίαν λαβεῖν ἄμεινόν ἐστιν ἢ κέρδος κακόν.
Soph. fr. 738.

384. Τὸ δ' εὐσεβὲς
τῆς δυσσεβείας ἀνθελοῦ· πολλοῖσι γὰρ
κέρδη πονηρὰ ζημίαν ἠμείψατο. Eur. Kykl. 310.

385. Ἀλλ' εἰς τὸ κέρδος παρὰ φύσιν δουλευτέον.
Eur. Phoen. 395.

386. Τὰ πονηρὰ κέρδη τὰς μὲν ἡδονὰς ἔχει
μικράς, ἔπειτα δ' ὕστερον λύπας μακράς.
Antiphanes fr. 270.

387. Ὁ τραχύτατος δὲ συκοφάντης μνᾶς δύο
λαβὼν ἅπεισιν ἀρνίου μαλακώτερος. Philippides fr. 29.

XXXIV. Glück, Glückseligkeit.

388. Ἀλλ' οὕπως ἅμα πάντα δυνήσεαι αὐτὸς ἑλέσθαι.
ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα·
ἄλλῳ δ' ἐν στήθεσσι τιθεῖ νόον εὐρύοπα Ζεὺς
ἐσθλόν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι·
καί τε πόλεις ἐσάωσε, μάλιστα δέ κ' αὐτὸς ἀνέγνω.
Hom. Il. 13,729.

389. Ζεὺς δ' αὐτὸς νέμει ὄλβον Ὀλύμπιος ἀνθρώποισιν
ἐσθλοῖς ἠδὲ κακοῖσιν, ὅπως ἐθέλῃσιν ἑκάστῳ.
Hom. Od. 6,188.

390. Πολλαὶ δὲ ὁδοὶ
σὺν θεοῖς εὐπραγίας. Pind. Ol. 8,13.

391. Τὸ δὲ παθεῖν εὖ πρῶτον ἀέθλων· εὖ δ' ἀκούειν δευτέρα
μοῖρ'· ἀμφοτέροισι δ' ἀνὴρ
ὃς ἂν ἐγκύρσῃ καὶ ἕλῃ, στέφανον ὕψιστον δέδεκται.
Pind. Pyth. 1,99.

392. Εἰ γάρ τις ἀνθρώπων δαπάνᾳ τε χαρεὶς
καὶ πόνῳ πράσσει θεοδμάτους ἀρετάς,
σύν τέ οἱ δαίμων φυτεύει δόξαν ἐπήρατον, ἐσχατιὰς ὕδᾳ
πρὸς ὄλβου
βάλλετ' ἄγκυραν θεότιμος ἐών. Pind. Isthm. 6,10.

393. Οὐδὲ μάκαρς οὐδεὶς πέλεται βροτός, ἀλλὰ πονηροὶ
πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ. Solon fr. 14.

394. Μήποτέ τις νῦν ἄνδρα πανόλβιον αὐδήσειε,
πρίν γ' ἂν ἴδῃ, πῶς κεῖνον ἕλοι ποτὲ πότμος ἀπήμων.
Phokylides?

395. Εἴη μοι πλουτεῦντι κακῶν ἀπάτερθε μεριμνέων
ζώειν ἀβλαβέως, μηδὲν ἔχοντι κακόν.
οὐκ ἔραμαι πλουτεῖν οὐδ' εὔχομαι, ἀλλά μοι εἴη
ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.
Theogn. 1153.

396. Ὄλβιος, ᾧτε θεὸς μοῖράν τε καλῶν ἔπορεν
σύν τ' ἐπιζάλῳ τύχᾳ ἀφνειὸν βιοτὰν διάγειν·
οὐ γάρ τις ἐπιχθονίων πάντα γ' εὐδαίμων ἔφυ.
Bacchylides fr. 1.

397. Θνατοῖσι μὴ φῦναι φέριστον
μηδ' ἀελίου προσιδεῖν φέγγος·
ὄλβιος δ' οὐδεὶς βροτῶν πάντα χρόνον. Bacchylides fr. 2.

398. Εἷς ὅρος, μία δὲ βροτοῖς ἐστὶν εὐτυχίας ὁδός,
θυμὸν εἴ τις ἔχων ἀπενθῆ διατελεῖν δύναται βίον·
ὃς δὲ μυρίαν μενοινὰν ἀμφιπολεῖ φρενί,
τὸ δὲ παρ' ἀμάρ τε καὶ νύκτα μελλόντων χάριν
ἐὸν ἰάπτεται κέαρ,
ἀκάρπωτον ἔχει πόνον. Bacchylides fr. 19.

399. Ὑγιαίνειν μὲν ἄριστον ἀνδρὶ θνατῷ,
δεύτερον δὲ φυὰν καλὸν γενέσθαι,
τὸ τρίτον δὲ πλουτεῖν ἀδόλως,
καὶ τὸ τέταρτον ἡβᾶν μετὰ τῶν φίλων. Skolium ad. 8.

400. Θεοῦ δὲ δῶρόν ἐστιν εὐτυχεῖν βροτούς. Aesch. Spt. 625.

401. Τὸ μὲν εὖ πράττειν ἀκόρεστον ἔφυ
πᾶσι βροτοῖσιν. Aesch. Ag. 1331.

402. Ἡ βαρὺ φόρημ' ἄνθρωπος εὐτυχῶν ἄφρων. Aesch. fr. 392.

403. Κακοὶ γὰρ εὖ πράσσοντες οὐκ ἀνασχετοί. Aesch. fr. 398.

404. Ὅρα, πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ. Soph. El. 945.

405. Κάλλιστόν ἐστι τοὔνδικον πεφυκέναι·
λῷστον δὲ τὸ ζῆν ἄνοσον· ἥδιστον δ' ὅτῳ
πάρεστι λῆψις ὧν ἐρᾷ καθ' ἡμέραν. Soph. fr. 329.

406. Οἴκοι μένειν δεῖ τὸν καλῶς εὐδαίμονα. Soph. fr. 848.

407. Χρὴ δ' οὔποτ' εἰπεῖν οὐδέν' ὄλβιον βροτῶν,
πρὶν ἄν θανόντος τὴν τελευταίαν ἴδῃς
ὅπως περάσας ἡμέραν ἥξει κάτω. Eur. Andr. 100.

408. Ἔξωθέν εἰσιν οἱ δοκοῦντες εὐτυχεῖν
λαμπροί, τὰ δ' ἔνδον πᾶσιν ἀνθρώποις ἴσοι,
πλὴν εἴ τι πλούτῳ· τοῦτο δ' ἰσχύει μέγα. Eur. Andr. 330.

409. Οὐ τοὺς κρατοῦντας χρὴ κρατεῖν ἃ μὴ χρεὼν
οὐδ' εὐτυχοῦντας εὖ δοκεῖν πράξειν ἀεί. Eur. Hec. 282.

410. Κεῖνος ὀλβιώτατος,
ὅτῳ κατ' ἦμαρ τυγχάνει μηδὲν κακόν. Eur. Hec. 627.

411. Ἀλλ' ὦ μάταιοι, γνῶτε τἀνθρώπων κακά·
παλαίσμαθ' ἡμῶν ὁ βίος· εὐτυχοῦσι δὲ
οἱ μὲν τάχ', οἱ δ' ἐσαῦθις, οἱ δ' ἤδη βροτῶν.
τρυφᾷ δ' ὁ δαίμων· πρός τε γὰρ τοῦ δυστυχοῦς,
ὡς εὐμενὴς ᾖ, τίμιος γεραίρεται,
ὁ δ' ὄλβιος νιν πνεῦμα δειμαίνων λιπεῖν
ὑψηλὸν αἴρει. Eur. Suppl. 549.

412. Θνητῶν δ' ὄλβιος εἰς τέλος οὐδεὶς
οὐδ' εὐδαίμων·
οὔπω γὰρ ἔφυ τις ἄλυπος. Eur. I. A. 161.

413. Τὰ θνητὰ δ' οὐ νῦν πρῶτον ἡγοῦμαι σκιάν,
οὐδ' ἄν τρέσας εἴποιμι τοὺς σοφοὺς βροτῶν
δοκοῦντας εἶναι καὶ μεριμνητὰς λόγων
τούτους μεγίστην μωρίαν ὀφλισκάνειν.
θνητῶν γὰρ οὐδείς ἐστιν εὐδαίμων ἀνήρ·
ὄλβου δ' ἐπιρρυέντος εὐτυχέστερος
ἄλλου γένοιτ' ἂν ἄλλος, εὐδαίμων δ' ἂν οὔ. Eur. Med. 1224.

414. Ζηλωτὸς ὅστις εὐτύχησεν εἰς τέκνα
καὶ μὴ 'πισήμους συμφορὰς ἐκτήσατο. Eur. Or. 542.

415. Τῶν δ' εὐδαιμόνων
μηδένα νομίζετ' εὐτυχεῖν πρὶν ἂν θάνῃ. Eur. Tr. 509.

416. Εἰ δ' εὐτυχῶν τις καὶ βίον κεκτημένος
μηδὲν δόμοισι τῶν καλῶν πειράσεται,
ἐγὼ μὲν οὔποτ' αὐτὸν ὄλβιον καλῶ,
φύλακα δὲ μᾶλλον χρημάτων εὐδαίμονα. Eur. fr. 198.

417. Τὸν ὄλβον οὐδὲν οὐδαμῶς κρίνω βροτοῖς,
ὃν γ' ἐξαλείφει ῥᾷον ἢ γραφὴν θεός. Eur. fr. 618.

418. Ἀσκεῖν μὲν ἀρετήν, εὐτυχεῖν δ' αἰτεῖν θεούς·
ἔχων γὰρ ἄμφω ταῦτα μακάριος θ' ἅμα
κεκλημένος ζῇν κἀγαθὸς δυνήσεται. Karkinos fr. 4.

419. Ἂν γνῷς, τί ἐστ' ἄνθρωπος, εὐδαίμων ἔσει·
τέθνηκέ τις· μὴ δεινὸν ἔστω τοῦτό σοι.
κεκύηκέ τις, οὐ κεκύηκέ τις· ηὐτύχηκέ τις·
βήττει τις· οἰμώζει τις· ἡ φύσις φέρει
ἅπαντα ταῦτα. φεῦγε τὰς λύπας μόνον. Philemon fr. 107.

420. Τὸ μὴ δικαίως εὐτυχεῖν ἔχει φόβον. Menander fr. 598.

XXXV. Glück und Unglück.

421. Ἓν παρ' ἑσλὸν πήματα σύνδυο δαίονται βροτοῖς
ἀθάνατοι. Pind. Pyth. 3,81.

422. Μήτ' εὐτυχοῦσα πᾶσαν ἡνίαν χάλα
κακῶς τε πράττουσ' ἐλπίδος κεδνῆς ἔχου. Eur. fr. 409.

423. Ἀνὴρ πονηρὸς δυστυχεῖ, κἂν εὐτυχῇ. Men. mon. 19.

424. Ὅταν τις ἡμῶν ἀμέριμνον ἔχῃ βίον,
οὐκ ἐπικαλεῖται τὴν τύχην εὐδαιμονῶν·
ἐπὴν δὲ λύπαις περιπέσῃ καὶ πράγμασιν,
εὐθὺς προσάπτει τῇ τύχῃ τὴν αἰτίαν. Menander fr. 1083.

425. Τοῖσι μὲν εὖ πράττουσιν πᾶς ὁ βίος βραχύς ἐστιν,
τοῖς δὲ κακῶς μία νὺξ ἄπλετός ἐστι χρόνος.
Lukian Epigr. 5.

XXXVI. Gott, Götter.

426. Στρεπτοὶ δέ τε καὶ θεοὶ αὐτοί. Hom. Il. 9,497.

427. Ῥεῖα δ' ἀρίγνωτος Διὸς ἀνδράσι γίγνεται ἀλκή,
ἠμὲν ὀτέοισιν κῦδος ὑπέρτερον ἐγγυαλίξῃ,
ἠδ' ὅτινας μινύθῃ τε, καὶ οὐκ ἐθέλῃσιν ἀμύνειν.
Hom. Il. 15,490.

428. Οὐ μὲν σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσιν,
ἀλλὰ δίκην τίουσι καὶ αἴσιμα ἔργα ἀνθρώπων.
Hom. Od. 14,82.

429. Ῥηΐδιον δὲ θεοῖσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν,
ἠμὲν κυδῆναι θνητὸν βροτὸν ἠδὲ κακῶσαι.
Hom. Od. 16,211.

430. Καί τε θεοὶ ξείνοισιν ἐοικότες ἀλλοδαποῖσιν,
παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας,
ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντες.
Hom. Od. 17,485.

431. Μάντις δ' οὐδείς ἐστιν ἐπιχθονίων ἀνθρώπων,
ὅστις ἂν εἰδείη Ζηνὸς νόον αἰγιόχοιο. Hes. fr. 177.

432. Εἰ δὲ θεὸν ἀνήρ τις ἔλπεταί τι λαθέμεν ἔρδων, ἁμαρτάνει.
Pind. Ol. 1,64.

433. Χρὴ δὲ πρὸς θεὸν οὐκ ἐρίζειν,
ὃς ἀνέχει τοτὲ μὲν τὰ κείνων, τότ' αὖθ' ἑτέροις ἔδωκεν
μέγα κῦδος. Pind. Pyth. 2,88.

434. Τί θεός; ὅ τι; τὸ πᾶν. Pind. fr. 140.

435. Πάντῃ δ' ἀθανάτων ἀφανὴς νόος ἀνθρώποισιν.
Solon fr. 17.

436. Μηδὲν ἁμαρτεῖν ἐστι θεοῦ καὶ πάντα κατορθοῦν.
Simonides fr. 82.

437. Ζεὺς πάντων αὐτὸς φάρμακα μοῦνος ἔχει.
Simonides fr. 87.

438. Ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα
τὸ Διὸν, ἀλλὰ πᾶν ἔπος τελεῖ. Aesch. Prom. 1032.

439. Θεοῦ δ' ἔτ' ἰσχὺς καθυπερτέρα·
πολλάκι δ' ἐν κακοῖσι τὸν ἀμάχανον
κἀκ χαλεπᾶς δύας ὕπερθ' ὀμμάτων
κρημναμενᾶν νεφελᾶν ὀρθοῖ. Aesch. Spt. 226.

440. Ξὺν τῷ θεῷ πᾶς καὶ γελᾷ κὠδύρεται. Soph. Aj. 383.

441. Ἀλλ' οὐ γὰρ ἂν τὰ θεῖα κρυπτόντων θεῶν
μάθοις ἄν, οὐδ' εἰ πάντ' ἐπεξέλθοις σκοπῶν.
Soph. fr. 833.

442. Χρόνια μὲν τὰ τῶν θεῶν πως, εἰς τέλος δ' οὐκ ἀσθενῆ.
Eur. Ion. 1615.

443. Θεοῦ θέλοντος κἂν ἐπὶ ῥιπὸς πλέοις. Eur. fr. 397.

444. Ἐγὼ μὲν εὖτ' ἂν τοὺς κακοὺς ὁρῶ βροτῶν
πίπτοντας, εἶναι φημὶ δαιμόνων γένος. Eur. fr. 577.

445. Τί δῆτα θάκοις μαντικοῖς ἐνήμενοι
σαφῶς διόμνυσθ' εἰδέναι τὰ δαιμόνων;
οὐ τῶνδε χειρώνακτες ἄνθρωποι λόγων·
ὅστις γὰρ αὐχεῖ θεῶν ἐπίστασθαι πέρι,
οὐδέν τι μᾶλλον οἶδεν ἢ πείθειν λέγων. Eur. fr. 795.

446. Ἐπίσταμαι δὲ καὶ τάδ' οὐσά περ γυνή,
ὡς μᾶλλον ὅστις εἰδέναι τὰ τῶν θεῶν
ζητεῖ, τοσούτῳ μᾶλλον ἧσσον εἴσεται. Iophon fr. 2.

447. Ἀπὸ τῶν θεῶν ἀρχήν σε ποιεῖσθαι πρέπει.
Theodektes fr. 7.

448. Ἅπαντές ἐσμεν πρὸς τὰ θεῖ' ἀβέλτεροι
κοὐκ ἴσμεν οὐδέν. Anaxandrides fr. 21.

449. Τί ἐστὶν ὁ θεὸς οὐ θέλει σε μανθάνειν·
ἀσεβεῖς τὸν οὐ θέλοντα μανθάνειν θέλων.
Philemon fr. 166.

450. Ἅπαντα σιγῶν ὁ θεὸς ἐξεργάζεται. Menander fr. 818.

451. Θεὸς δ' ἐπὶ σμικροῖσιν οὐ θερμαίνεται,
ἀλλ' ὡς λέβης τις μείζονος δεῖται πυρός.
Fr. com. ad. 1223.

452. Θεοῦ θέλοντος δυνατὰ πάντα γίγνεται.
Fr. com. ad. 1266.

XXXVII. Grab, Begräbnis.

453. Ἐάσατ' ἤδη γῇ καλυφθῆναι νεκρούς,
ὅθεν δ' ἕκαστον εἰς τὸ σῶμ' ἀφίκετο,
ἐνταῦθ' ἀπελθεῖν, πνεῦμα μὲν πρὸς αἰθέρα,
τὸ σῶμα δ' εἰς γῆν. οὔτι γὰρ κεκτήμεθα
ἡμέτερον αὐτὸ πλὴν ἐνοικῆσαι βίον·
κἄπειτα τὴν θρέψασαν αὐτὸ δεῖ λαβεῖν. Eur. Suppl. 531.

454. Δοκῶ δὲ τοῖς θανοῦσι διαφέρειν βραχύ,
εἰ πλουσίων τις τεύξεται κτερισμάτων.
κενὸν δὲ γαύρωμ' ἐστὶ τῶν ζώντων τόδε. Eur. Tr. 1248.

455. Ἀνθρώπων δὲ μαίνονται φρένες,
δαπάνας ὅταν θανοῦσι πέμπωσιν κενάς. Eur. fr. 640.

XXXVIII. Herrschaft, Macht.

456. Ἔνεστι γάρ πως τοῦτο τῇ τυραννίδι
νόσημα, τοῖς φίλοισι μὴ πεποιθέναι. Aesch. Prom. 224.

457. Τοῖς κρατοῦσι μὴ μάχου. Eur. Hec. 404.

458. Δεινὸν οἱ πολλοί, κακούργους ὅταν ἔχωσι προστάτας.
Eur. Or. 772.

459. Τὰς τῶν κρατούντων ἀμαθίας φέρειν χρεών. Eur. Phōn. 393.

460. Ἀνδρὸς δ' ὑπ' ἐσθλοῦ καὶ τυραννεῖσθαι καλόν. Eur. fr. 8.

461. Ἡ γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ. Dionysius fr. 4.

No 2

Sinn- und Sittensprüche

aus

Dichtern

des

griechischen Altertums,

gesammelt und geordnet

von

ADOLF GEORGII,
K. Studienlehrer.

Zweiter Teil.

PROGRAMM
der
K. Studienanstalt zu Neustadt a. d. H.
für
das Schuljahr 1891/92.

Neustadt a. d. H.
Buchdruckerei von W. Kranzbühler.
1892.

XXXIX. Heuchelei, Falschheit.

462. Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ.
Hom. Il. 9,312.

463. Κέρδιστον εὖ φρονοῦντα μὴ φρονεῖν δοκεῖν.
Aesch. Prom. 385.

464. Ἐμοὶ γὰρ ὅστις ἄδικος ὢν σοφὸς λέγειν
πέφυκε, πλείστην ζημίαν ὀφλισκάνει·
γλώσσῃ γὰρ αὐχῶν τἄδικ' εὖ περιστελεῖν
τολμᾷ πανουργεῖν· ἔστι δ' οὐκ ἄγαν σοφός.
Eur. Med. 580.

465. Μισῶ τὸν ἄνδρα, τὸν διπλοῦν πεφυκότα,
χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις.
(Anth. Pal. 10,95).

XL. Hilfe, Mitleid.

466. Ἄνδρα δ' ὠφελεῖν ἀφ' ὧν
ἔχοι τε καὶ δύναιτο, κάλλιστος πόνος. Soph. O. R. 314.

467. Ἐσθλοῦ γὰρ ἀνδρὸς τοὺς πονοῦντας ὠφελεῖν.
Soph. fr. 836.

468. Γυναῖκα γὰρ δὴ συμπονεῖν γυναικὶ χρή. Eur. Hel. 329.

469. Κακὸς γὰρ ὅστις μὴ σέβει τὰ δεσποτῶν
καὶ ξυγγέγηθε καὶ ξυνωδίνει κακοῖς. Eur. Hel. 726.

470. Αἴσθησις γὰρ οὖν
καὶ τῶν θυραίων πημάτων δάκνει βροτούς. Eur. El. 290.

471. Εἰ πάντες ἐβοηθοῦμεν ἀλλήλοις ἀεί,
οὐδεὶς ἂν ὢν ἄνθρωπος ἐδεήθη τύχης. Menander fr. 679.

IXL. Hoffnung.

472. Ἀδύ τι θαρσαλέαις
τὸν μακρὸν τείνειν βίον ἐλπίσι, φαναῖς
θυμὸν ἀλδαίνουσαν ἐν εὐφροσύναις. Aesch. Prom. 536.

473. Οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτόν,
ὅστις κεναισιν ἐλπίσιν θερμαίνεται. Soph. Aj. 477.

474. Ἀλλ' ὑπ' ἐλπίδων
ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν. Soph. Ant. 221.

475. Ἐλπὶς γὰρ ἡ βοσκοῦσα τοὺς πολλοὺς βροτῶν.
Soph. fr. 862.

476. Κάμνουσι γάρ τοι καὶ βροτῶν αἱ συμφοραί,
καὶ πνεύματ' ἀνέμων οὐκ ἀεὶ ῥώμην ἔχει·
ἐξίσταται γὰρ πάντ' ἀπ' ἀλλήλων δίχα,
οὗτος δ' ἀνὴρ ἄριστος, ὅστις ἐλπίσι
πέποιθεν ἀεί· τὸ δ' ἀπορεῖν ἀνδρὸς κακοῦ.
Eur. H. f. 101.

477. Αἱ δ' ἐλπίδες βόσκουσι φυγάδας, ὡς λόγος.
Eur. Phoen. 396.

478. Ἐν ἐλπίσιν χρὴ τοὺς σοφοὺς ἄγειν βίον. Eur. fr. 408.

479. Μήτ' εὐτυχοῦσα πᾶσαν ἡνίαν χάλα,
κακῶς τε πράσσουσ' ἐλπίδος κεδνῆς ἔχου.
Eur. fr. 409.

VIIIL. Jugend.

480. Αἰεί δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται.
Hom. Il. 3,108.

481. Οἶσθ', οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσιν·
κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις.
Hom. Il. 23,589.

482. Νέος πέφυκας· πολλὰ καὶ μαθεῖν σε δεῖ
καὶ πόλλ' ἀκοῦσαι καὶ διδάσκεσθαι μακρά. Soph. fr. 632.

483. Κακόν γε θνητοῖς τὸ νέον ἔν τε τῷ νέῳ
τὸ μὴ δίκαιον ὅστις ἀνθρώπων ἔχει. Eur. Andr. 184.

484. Πολλῶν νέων γὰρ κἂν γέρων εὔψυχος ᾖ
κρείσσων· τί γὰρ δεῖ δειλὸν ὄντ' εὐσωματεῖν;
Eur. Andr. 765.

485. Μιμοῦ τρόπους
πατρὸς δικαίου· παισὶ γὰρ κλέος τόδε
κάλλιστον, ὅστις ἐκ πατρὸς χρηστοῦ γεγὼς
εἰς ταὐτὸν ἦλθε τοῖς τεκοῦσι τοὺς τρόπους.
Eur. Hel. 940.

486. Νέα γὰρ φροντὶς οὐκ ἀλγεῖν φιλεῖ. Eur. Med. 48.

VIIL. Kindheit, Kinder.

487. Παῦροι γάρ τοι παῖδες ὁμοῖοι πατρὶ πέλονται,
οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους.
Hom. Od. 2,276.

488. Ἦ δέος ἦ λύπη παῖς πατρὶ πάντα χρόνον. Euenus fr. 6.

489. Ἀλλ' εἰσὶ μητρὶ παῖδες ἄγκυραι βίου. Soph. fr. 623.

490. Πάντα δ' ἀνθρώπων ἴσα·
φιλοῦσι παῖδας οἵ τ' ἀμείνονες βροτῶν
οἵ τ' οὐδὲν ὄντες· χρήμασιν δὲ διάφοροι·
ἔχουσιν, οἱ δ' οὔ· πᾶν δὲ φιλότεκνον γένος.
Eur. H. f. 633.

491. Ὅταν δὲ κρηπὶς μὴ καταβληθῇ γένους
ὀρθῶς, ἀνάγκη δυστυχεῖν τοὺς ἐκγόνους.
Eur. H. f. 1261.

492. Δεινὸν τὸ τίκτειν καὶ φέρει φίλτρον μέγα
πᾶσίν τε κοινόν, ὥσθ' ὑπερκάμνειν τέκνων.
Eur. I. A. 917.

493. Πᾶσιν γὰρ ἀνθρώποισιν φιλότεκνος βίος. Eur. Phoen. 965.

494. Γύναι, καλὸν μὲν φέγγος ἡλίου τόδε,
καλὸν δὲ πόντου χεῦμ' ἰδεῖν εὐήνεμον,
γῆ τ' ἠρινὸν θάλλουσα πλούσιον θ' ὕδωρ,
πολλῶν τ' ἔπαινον ἔστι μοι λέξαι καλῶν·
ἀλλ' οὐδὲν οὕτω λαμπρὸν οὐδ' ἰδεῖν καλόν,
ὡς τοῖς ἄπαισι καὶ πόθῳ δεδηγμένοις
παιδῶν νεογνῶν ἐν δόμοις ἰδεῖν θάλος. Eur. fr. 316.

495. Οὐκ ἔστι μητρὸς οὐδὲν ἥδιον τέκνοις·
ἐρᾶτε μητρός, παῖδες, ὡς οὐκ ἔστ' ἔρως
τοιοῦτος ἄλλος ὅστις ἡδίων ἐρᾶν. Eur. fr. 358.

496. Ὦ παῖδες, οἷον φίλτρον ἀνθρώποις φρενός. Eur. fr. 652.

497. Μακάριος ὅστις αὐτὸς ἰσχύων ἔτι
παῖδας παρασπίζοντας ἀλκίμους ἔχει. Diogenes fr. 2.

498. Εὐδαιμονία τοῦτ' ἐστὶν υἱὸς νοῦν ἔχων,
ἀλλὰ θυγάτηρ κτῆμ' ἐστὶν ἐργῶδες πατρί.
Menander fr. 60.

499. Οὐκ ἔστι μείζων ἡδονὴ ταύτης πατρί,
ἢ σωφρονοῦντα καὶ φρονοῦντ' ἰδεῖν τινα
τῶν ἐξ ἑαυτοῦ. Menander fr. 603.

500. Ὀδυνηρόν ἐστιν εὐτυχοῦντα τῷ βίῳ
ἔχειν ἔρημον διαδόχου τὴν οἰκίαν. Menander fr. 655.

VII. Krieg und Friede.

501. Ἀφρήτωρ, ἀθέμιστος, ἀνέστιός ἐστιν ἐκεῖνος,
ὃς πολέμου ἔραται ἐπιδημίου, ὀκρυόεντος. Hom. Il. 9,63.

502. Γλυκὺ δ' ἀπείροισι πόλεμος· πεπειραμένων δέ τις
ταρβεῖ προσιόντα νιν καρδίᾳ περισσῶς. Pind. fr. 110.

503. Ὦ ταλαίπωροι βροτῶν,
τί κτᾶσθε λόγχας καὶ κατ' ἀλλήλων φόνους

τίθεσθε; παύσασθ', ἀλλὰ λήξαντες πόνων
ἄστη φυλάσσεθ' ἥσυχοι μεθ' ἡσύχων.
σμικρὸν τὸ χρῆμα τοῦ βίου· τοῦτον δὲ χρὴ
ὡς ῥᾷστα καὶ μὴ σὺν πόνοις διεκπερᾶν.
Eur. Suppl. 949.

504. Φεύγειν μὲν οὖν χρὴ πόλεμον ὅστις εὖ φρονεῖ·
εἰ δ' εἰς τόδ' ἔλθοι, στέφανος οὐκ αἰσχρὸς πόλει
καλῶς ὀλέσθαι, μὴ καλῶς δὲ δυσκλεές. Eur. Tr. 400.

505. Εἰρήνη γεωργὸν κἂν πέτρας
τρέφει καλῶς, πόλεμος δὲ κἂν πεδίῳ κακῶς.
Menander fr. 719.

VI. Leben.

506. Ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι,
ζώειν ἀχνυμένοις· αὐτοὶ δέ τ' ἀκηδέες εἰσίν.
δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει
δώρων, οἷα δίδωσι, κακῶν, ἕτερος δὲ ἑάων·
ᾧ μέν κ' ἀμμίξας δώῃ Ζεὺς τερπικέραυνος,
ἄλλοτε μέν τε κακῷ ὅγε κύρεται, ἄλλοτε δ' ἐσθλῷ·
ᾧ δέ κε τῶν λυγρῶν δώῃ, λωβητὸν ἔθηκεν·
καὶ ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει·
φοιτᾷ δ', οὔτε θεοῖσι τετιμένος οὔτε βροτοῖσιν.
Hom. Il. 24,525.

507. Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον
μηδ' ἐπιδεῖν αὐγὰς ὀξέος ἠελίου·
φῦντα δ' ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι
καὶ κεῖσθαι πολλὴν γῆν ἐπαμήσαμενον.
Theogn. 425.

508. Ἀτέκμαρτος ὁ πᾶς
βροτοῖς βίος οὐδὲν ἔχων πιστὸν πλανᾶται συντυχίαισιν ἀεί·
ἐλπὶς δὲ φρένας παραθαρσύνει, τὸ δὲ μέλλον ἀκριβῶς
οἶδεν οὐδεὶς θνατὸς ὅπα φέρεται·
ἀντιπνεῖ γὰρ πολλάκις εὐτυχίαις δεινά τις αὔρα·
θεὸς δὲ πάντας ἔν γε κινδύνοισιν ἔν τ' ἄταις κυβερνᾷ.
Hermodotus?

509. Τί γὰρ καλὸν ζῆν βίοτον, ὃς λύπας φέρει; Aesch. fr. 177.

510. Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
εἴδωλ', ὅσοιπερ ζῶμεν, ἢ κούφην σκιάν. Soph. Aj. 125.

511. Οὐδὲν γὰρ ἄλγος οἷον ἡ πολλὴ ζοή. Soph. fr. 512.

512. Τὰν γὰρ ἀνθρώπου ζόαν
ποικιλομήτιδες ἄται
πημάτων πάσαις μεταλλάσσουσιν ὥραις. Soph fr. 533.

513. Ὅστις γὰρ ἐν κακοῖσιν ἱμείρει βίου,
ἢ δειλός ἐστιν ἢ δυσάλγητος φρένας. Soph. fr. 866.

514. Πολλαί γε πολλοῖς εἰσι συμφοραὶ βροτοῖς,
μορφαὶ δὲ διαφέρουσιν, ἓν δ' ἂν εὐτυχὲς
μόλις ποτ' ἐξεύροι τις ἀνθρώπων βίῳ. Eur. Ion. 381.

515. Ἕτερα δ' ἕτερος ἀμείβεται
πήματ' ἐν χρόνῳ μακρῷ·
βροτῶν δ' ὁ πᾶς ἀστάθμητος αἰών. Eur. Or. 979.

516. Τοιόσδε θνητῶν τῶν ταλαιπώρων βίος·
οὔτ' εὐτυχεῖ τὸ πάμπαν οὔτε δυστυχεῖ.
τί δῆτ' ἐν ὄλβῳ μὴ σαφεῖ βεβηκότες
οὐ ζῶμεν ὡς ἥδιστα μὴ λυπούμενοι; Eur. fr. 196.

517. Τοιοῦτο τὸ ζῆν ἐστιν ὥσπερ οἱ κύβοι·
οὐ ταὐτ' ἀεὶ πίπτουσιν, οὐδὲ τῷ βίῳ
ταὐτὸν διαμένει σχῆμα, μεταβολὰς δ' ἔχει. Alexis fr 34.

518. Ὄνειδος αἰσχρὸς βίος ὅμως κἂν ἡδὺς ᾖ. Menander fr. 756.

519. Ἀπραγμόνως ζῆν ἡδύ· μακάριος βίος
καὶ σεμνός, ἂν ᾖ μεθ' ἑτέρων ἀπραγμόνων·
ἐν θηρίοις δὲ καὶ πιθήκοις ὄντα δεῖ
εἶναι πίθηκον· ὦ ταλαιπώρου βίου. Apollodorus fr. 1.

520. Σκηνὴ πᾶς ὁ βίος καὶ παίγνιον· ἢ μάθε παίζειν
τὴν σπουδὴν μεταθείς, ἢ φέρε τὰς ὀδύνας.
(Anth. Pal. 10,72).

VI. Leben und Tod.

521. Βουλοίμην κ' ἐπάρουρος ἐὼν θητεύεμεν ἄλλῳ,
ἀνδρὶ παρ' ἀκλήρῳ, ᾧ μὴ βίοτος πολὺς εἴη,
ἢ πᾶσιν νεκύεσσι καταφθιμένοισιν ἀνάσσειν.
Hom. Od. 11,489.

522. Ζωῆς πονηρᾶς θάνατος αἱρετώτερος·
τὸ μὴ γενέσθαι δ' ἐστὶν ἢ πεφυκέναι
κρεῖσσον κακῶς πάσχοντα. Aesch. fr. 401.

523. Τὸ ζῆν γάρ, ὦ παῖ, παντὸς ἥδιστον γέρας·
θανεῖν γὰρ οὐκ ἔξεστι τοῖς αὐτοῖσι δίς. Soph. fr. 64.

524. Ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν,
φέρει μέν, ἀλγεῖ δ' αὐχέν' ἐντιθεὶς ζυγῷ·
θανὼν δ' ἂν εἴη μᾶλλον εὐτυχέστερος
ἢ ζῶν· τὸ γὰρ ζῆν μὴ καλῶς μέγας πόνος.
Eur. Hec. 375.

525. Τὸ φῶς τόδ' ἀνθρώποισιν ἥδιστον βλέπειν,
τὸ νέρθεν οὐδέν· μαίνεται δ' ὃς εὔχεται
θανεῖν. κακῶς ζῆν κρεῖσσον ἢ καλῶς θανεῖν.
Eur. I. A. 1250.

526. Οὐ ταὐτόν, ὦ παῖ, τῷ βλέπειν τὸ κατθανεῖν·
τὸ μὲν γὰρ οὐδέν, τῷ δ' ἔνεισιν ἐλπίδες. Eur. Tr. 632.

527. Τὸ μὴ γενέσθαι τῷ θανεῖν ἴσον λέγω,
τοῦ ζῆν δὲ λυπρῷ κρεῖσσόν ἐστι κατθανεῖν.
ἀλγεῖ γὰρ οὐδὲν τῶν κακῶν ᾐσθημένος·
ὁ δ' εὐτυχήσας εἰς τὸ δυστυχὲς πεσὼν
ψυχὴν ἀλᾶται τῆς πάροιθ' εὐπραξίας. Eur. Tr. 636.

528. Ἐχρῆν γὰρ ἡμᾶς σύλλογον ποιουμένους
τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά,
τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον
χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων. Eur. fr. 449.

529. Ἡδύ γ' ἀποθνήσκειν, ὅτῳ ζῆν μὴ πάρεσθ' ὡς βούλεται.
Menander fr. 930.

IIIL. Liebe.

530. Ἀστραγάλαι δ' Ἔρωτός εἰσιν μανίαι τε καὶ κύδοιμοι.
Anakreon fr. 46.

531. Ἔρωτι μέν νυν ὅστις ἀντανίσταται
πύκτης ὅπως ἐς χεῖρας, οὐ καλῶς φρονεῖ·
οὗτος γὰρ ἄρχει καὶ θεῶν ὅπως θέλει. Soph. Tr. 441.

532. Τὸ γὰρ κακοῦργον μᾶλλον ἐντίκτει Κύπρις
ἐν ταῖς σοφαῖσιν· ἡ δ' ἀμήχανος γυνὴ
γνώμῃ βραχείᾳ μωρίαν ἀφῃρέθη. Eur. Hipp. 642.

533. Τὰ μῶρα γὰρ πάντ' ἐστὶν Ἀφροδίτη βροτοῖς
καὶ τοὔνομ' ὀρθῶς ἀφροσύνης ἄρχει θεᾶς. Eur. Tr. 989.

534. Τῇ δ' Ἀφροδίτῃ πόλλ' ἔνεστι ποικίλα·
τέρπει τε γὰρ μάλιστα καὶ λυπεῖ βροτούς.
τύχοιμι δ' αὐτῆς, ἡνίκ' ἐστὶν εὐμενής. Eur. fr. 26.

535. Ὅσοι γὰρ εἰς ἔρωτα πίπτουσιν βροτῶν,
ἐσθλῶν ὅταν τύχωσι τῶν ἐρωμένων,
οὐκ ἔσθ' ὁποίας λείπεται τόδ' ἡδονῆς. Eur. fr. 138.

536. Ἔρωτα δ' ὅστις μὴ θεὸν κρίνει μέγαν
καὶ τῶν ἁπάντων δαιμόνων ὑπέρτατον,
ἢ σκαιός ἐστιν ἢ καλῶν ἄπειρος ὤν
οὐκ οἶδε τὸν μέγιστον ἀνθρώποις θεόν. Eur. fr. 269.

537. Ἔρως γὰρ ἀργὸν κἀπὶ τοῖς ἀργοῖς ἔφυ·
φιλεῖ κάτοπτρα καὶ κόμης ξανθίσματα,
φεύγει δὲ μόχθους. ἐν δέ μοι τεκμήριον·
οὐδεὶς προσαιτῶν βίοτον ἠράσθη βροτῶν,
ἐν τοῖς δ' ἔχουσιν ἡβητὴς πέφυχ' ὅδε. Eur. fr. 322.

538. Οἱ γὰρ Κύπριν φεύγοντες ἀνθρώπων ἄγαν
νοσοῦσ' ὁμοίως τοῖς ἄγαν θηρωμένοις. Eur. fr. 428.

539. Ἔρωτος ὅστις μὴ πεπείραται βροτῶν,
οὐκ οἶδ' ἀνάγκης θεσμόν· ᾧ πεισθεὶς ἐγὼ
οὕτω κρατηθεὶς τάσδ' ἀπεστάλην ὁδούς.

οὗτος γὰρ ὁ θέος καὶ τὸν ἀσθενῆ σθένειν
τίθησι καὶ τὸν ἄπορον εὑρίσκειν πόρον. Aristarch fr. 2.

540. Ἔρως σοφιστοῦ γίγνεται διδάσκαλος
σκαιοῦ πολὺ κρείττων πρὸς τὸν ἀνθρώπων βίον.
Anaxandrides fr. 61.

541. Εἴ φησι τοὺς ἐρῶντας οὐχὶ νοῦν ἔχειν,
ἢ πού τίς ἐστι τοὺς τρόπους ἀβέλτερος;
εἰ γὰρ ἀφέλοι τις τοῦ βίου τὰς ἡδονάς,
καταλείπετ' οὐδὲν ἕτερον ἢ τεθνηκέναι.
Antiphanes fr. 324.

542. Οὐκ ἔστι παιδαγωγὸς ἀνθρώποις ἄρα
ἔρωτος οὐδεὶς ἄλλος ἐπιμελέστερος. Alexis fr. 289.

543. Καὶ φύσει πως εὐάγωγόν ἐστι πᾶς ἀνὴρ ἐρῶν.
Menander fr. 352.

544. Μόνος ἔστ' ἀπαρηγόρητον ἀνθρώποις ἔρως.
Menander fr. 798.

545. Οὐδέν πὸτ τὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο,
Νικία, οὔτ' ἔγχριστον, ἐμὶν δοκεῖ, οὔτ' ἐπίπαστον,
ἢ ταὶ Πιερίδες· κοῦφον δέ τι τοῦτο καὶ ἀδὺ
γίνετ' ἐπ' ἀνθρώπως, εὑρεῖν δ' οὐ ῥᾴδιόν ἐστι.
Theokr. 11,1.

546. Οὐκ ἔσθ' οὗτος ἔρως, εἴ τις καλὸν εἶδος ἔχουσαν
βούλετ' ἔχειν, φρονίμοις ὄμμασι πειθόμενος·
ἀλλ' ὅστις κακόμορφον ἰδών, πεφορημένος ἰοῖς
στέργει, μαινομένης ἐκ φρενὸς αἱθόμενος.
οὗτος ἔρως, πῦρ τοῦτο· τὰ γὰρ καλὰ πάντας ὁμοίως
τέρπει τοὺς κρίνειν εἶδος ἐπισταμένους.
Anth. Pal. 5,89.

III. Lüge, Unwahrheit.

547. Ἐχθρὸς γάρ μοι κεῖνος ὁμῶς Ἀΐδαο πύλῃσιν,
ὅς χ' ἕτερον μὲν κεύθῃ ἐνὶ φρεσίν, ἄλλο δὲ εἴπῃ.
Hom. Il. 9,312.

548. Νόσημα γὰρ
αἴσχιστον εἶναί φημι συνθέτους λόγους. Aesch. Prom. 685.

549. Ἐλευθέρῳ
ψευδεῖ καλεῖσθαι κὴρ πρόσεστιν οὐ καλή. Soph. Tr. 553.

550. Ἀλλ' οὐδὲν ἕρπει ψεῦδος εἰς μῆκος χρόνου. Soph. fr. 59.

551. Καλὸν μὲν οὖν οὐκ ἔστι τὰ ψευδῆ λέγειν·
ὅτῳ δ' ὄλεθρον δεινὸν ἀλήθει' ἄγει,
συγγνωστὸν εἰπεῖν ἐστι καὶ τὸ μὴ καλόν. Soph. fr. 326.

552. Οὐκ ἐξάγουσι καρπὸν οἱ ψευδεῖς λόγοι. Soph. fr. 750.

553. Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ,
κοὐ ποικίλων δεῖ τἀνδιχ' ἑρμηνευμάτων·
ἔχει γὰρ αὐτὰ καιρόν· ὁ δ' ἄδικος λόγος
νοσῶν ἐν αὑτῷ φαρμάκων δεῖται σοφῶν.
Eur. Phoen. 469.

II. Mann.

554. Ἀνδρῶν γὰρ ὄντων ἔρκος ἐστὶν ἀσφαλές.
Aesch. Pers. 349.

555. Κακὸν τὸ κεύθειν κοὐ πρὸς ἀνδρὸς εὐγενοῦς.
Soph. fr. 76.

556. Ἀνδρῶν γὰρ ἐσθλῶν στέρνον οὐ μαλάσσεται.
Soph. fr. 196.

557. Ἓκ κάρτα βαιῶν γνωτὸς ἂν γένοιτ' ἀνήρ. Soph. fr. 260.

558. Εἷς γ' ἀνὴρ κρείσσων γυναικῶν μυρίων ὁρῶν φάος.
Eur. I. A. 1394.

559. Ἀνὴρ μὲν ἐκ δόμων
θανὼν ποθεινός, τὰ δὲ γυναικὸς ἀσθενῆ. Eur. I. T. 1005.

560. Ἀνδρὸς διαφέρει τοῦτ' ἀνήρ· ὁ μὲν κακῶς
πράττων τὸ λυπεῖν ἤγαγ' εἰς παράστασιν,
ὁ δ' ἐμφρόνως δεξάμενος ἤνεγκεν καλῶς.
Antiphanes fr. 104.

L. Mässigkeit, Mässigung.

561. Φεῦ φεῦ· κακοῖσιν ὡς ὅταν δαίμων διδῷ
καλῶς, ὑβρίζουσ' ὡς ἀεὶ πράξοντες εὖ. Eur. Suppl. 463.

562. Φεῦ φεῦ· τὸ σῶφρον ὡς ἁπανταχοῦ καλὸν
καὶ δόξαν ἐσθλὴν ἐν βροτοῖς καρπίζεται. Eur. Hipp. 431.

563. Ἐπίσχες· οὗτοι τὸ ταχὺ τὴν δίκην ἔχει·
βραδεῖς δὲ μῦθοι πλεῖστον ἀνύουσιν σοφόν.
Eur. Phoen. 452.

564. Ἀσφαλὴς γάρ ἐστ' ἀμείνων ἢ θρασὺς στρατηλάτης.
Eur. Phoen. 599.

565. Ὁ δ' ἥσυχος φίλοισί τ' ἀσφαλὴς φίλος
πόλει τ' ἄριστος· μὴ τὰ κινδυνεύματα
αἰνεῖτ'· ἐγὼ γὰρ οὔτε ναύτιλον φιλῶ
τολμῶντα λίαν οὔτε προστάτην χθονός. Eur. fr. 194.

566. Τὰ περιττὰ μισῶ· τοῖς ὑπερβάλλουσι γὰρ
δαπάνη πρόσεστιν, ἡδονὴ δ' οὐδ' ἡτισοῦν. Alexis fr. 259.

LI. Mensch, Menschheit.

567. Οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν.
φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη
τηλεθόωσα φύει· ἔαρος δ' ἐπιγίγνεται ὥρη·
ὡς ἀνδρῶν γενεὴ ἣμὲν φύει ἠδ' ἀπολήγει.
Hom. Il. 6,146.

568. Οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς
πάντων, ὅσσα τε γαῖαν ἔπι πνείει τε καὶ ἕρπει.
Hom. Il. 17,446.

569. Οἱ πλέονες κακίους, παῦροι δέ τε πατρὸς ἀρείους.
Hom. Od. 2,277.

570. Ἔργα νέων, βουλαὶ δὲ μέσων, εὐχαὶ δὲ γερόντων.
Hes. fr. 179.

571. Τί δέ τις; τί δ' οὔ τις; σκιᾶς ὄναρ ἄνθρωπος.
Pind. Pyth. 8,95.

572. Οὐδὲ μάκαρς οὐδεὶς πέλεται βροτός, ἀλλὰ πονηροὶ
πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ.
Solon fr. 14.

573. Κατὰ δαίμονα καὶ τύχαν
τὰ πάντα βροτοῖσιν ἐκτελεῖται. Diagoras fr. 2.

574. Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
εἴδωλ', ὅσοιπερ ζῶμεν, ἢ κουφὴν σκιάν.
τοιαῦτα τοίνυν εἰσορῶν ὑπέρκοπον
μηδέν ποτ' εἴπῃς αὐτὸς εἰς θεοὺς ἔπος. Soph. Aj. 125.

575. Ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον. Soph. fr. 12.

576. Ὦ θνητὸν ἀνδρῶν καὶ ταλαίπωρον γένος,
ὡς οὐδέν ἐσμεν πλὴν σκιαῖς ἐοικότες,
βάρος περισσὸν γῆς ἀναστρωφώμενοι. Soph. fr. 859.

577. Τὰ θνητὰ δ' οὐ νῦν πρῶτον ἡγοῦμαι σκιάν.
Eur. Med. 1224.

578. Οὐκ ἔστιν οὐδὲν δεινὸν ὧδ' εἰπεῖν ἔπος
οὐδὲ πάθος οὐδὲ συμφορὰ θεήλατος,
ἥς οὐκ ἂν ἄραιτ' ἄχθος ἀνθρώπων φύσις. Eur. Or. 1.

579. Ἐχρῆν γὰρ ἡμᾶς σύλλογον ποιουμένους
τὸν φύντα θρηνεῖν εἰς ὅσ' ἔρχεται κακά,
τὸν δ' αὖ θανόντα καὶ πόνων πεπαυμένον
χαίροντας εὐφημοῦντας ἐκπέμπειν δόμων. Eur. fr. 449.

580. Θνητὸς γὰρ ὢν καὶ θνητὰ πείσεσθαι δόκει·
ἢ θεοῦ βίον ζῆν ἀξιοῖς ἄνθρωπος ὤν; Eur. fr. 1075.

581. Δολερὸν μὲν ἀεὶ κατὰ πάντα δὴ χρόνον
πέφυκεν ἄνθρωπος. Ar. Av. 451.

582. Εἰ θνητὸς εἶ, βέλτιστε, θνητὰ καὶ φρόνει.
Antiphanes fr. 289.

583. Οἶει τι τῶν ἄλλων διαφέρειν θηρίων
ἄνθρωπον; οὐδὲ μικρὸν ἀλλ' ἢ σχήματι·
πλάγι' ἐστὶ τἄλλα, τοῦτο δ' ὀρθὸν θηρίον. Philemon fr. 3.

584. Ἄνθρωπος εἶ δήπουθεν, ὧν ἔστ' οὐδὲ εἷς,
ᾧ μὴ κακόν τι γέγονεν ἢ γενήσεται.
ὁ ποιῶν δ' ἐλάχιστον τὸ γεγενημένον κακόν,
ἀμφότερον οὗτος εὐτυχεῖ τε καὶ φρονεῖ. Philemon fr. 117.

585. Ἄνθρωπός εἰμι, τοῦτο δ' αὐτὸ τῷ βίῳ
πρόφασιν μεγίστην εἰς τὸ λυπεῖσθαι φέρει.
Diphilus fr. 106.

586. Ὡς χαρίεν ἔστ' ἄνθρωπος, ὅταν ἄνθρωπος ᾖ.
Menander fr. 761.

587. Ἄνθρωπος· ἱκανὴ πρόφασις εἰς τὸ δυστυχεῖν.
Menander fr. 811.

588. Ἐπίφθονον χρῆμ' ἐστιν ἄνθρωπος φύσει.
Fr. com. ad. 1260.

589. Ὦ γένος ἀνθρώπων ἀνεμώλιον, αὐτοχόλωτον,
ἄχρι τέλους βιότου μηδὲν ἐπιστάμενον.
Anth. Pal. 7,688.

LII. Mut, Tapferkeit.

590. Οἶδα γάρ, ὅττι κακοὶ μὲν ἀποίχονται πολέμοιο·
ὃς δέ κ' ἀριστεύῃσι μάχῃ ἔνι, τὸν δὲ μάλα χρεὼ
ἑστάμενει κρατερῶς, ἦτ' ἔβλητ', ἦτ' ἔβαλ' ἄλλον.
Hom. Il. 11,408.

591. Ὦ φίλοι, ἀνέρες ἔστε καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ,
ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας!
αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι ἠὲ πέφανται·
φευγόντων δ' οὔτ' ἄρ κλέος ὄρνυται οὔτε τις ἀλκή.
Hom. Il. 15,561.

592. Ἄρης δ' οὐκ ἀγαθῶν φείδεται ἀλλὰ κακῶν.
Anakreon fr. 101.

593. Πόλεμος οὐδέν' ἄνδρ' ἑκὼν
αἱρεῖ πονηρόν, ἀλλὰ τοὺς χρηστοὺς ἀεί. Soph. Phil. 436.

594. Τοὺς εὐγενεῖς γὰρ κἀγαθούς, ὦ παῖ, φιλεῖ
Ἄρης ἐναίρειν· οἱ δὲ τῇ γλώσσῃ θρασεῖς
φεύγοντες ἄτας ἐκτός εἰσι τῶν κακῶν·
Ἄρης γὰρ οὐδὲν τῶν κακῶν λωτίζεται. Soph. fr. 657.

595. Τολμητέον·
μόχθος γὰρ οὐδεὶς τοῖς νέοις σκῆψιν φέρει.
Eur. I. T. 121.

596. Οὐδεὶς ἀνὴρ εὔψυχος ἀξιοῖ λάθρᾳ
κτεῖναι τὸν ἐχθρόν, ἀλλ' ἰὼν κατὰ στόμα.
Eur. Rhes. 510.

597. Οὐκ ἔστι τόλμης ἐφόδιον μεῖζον βίου. Menander fr. 792.

598. Ἄνδρας Ἄρης κτείνει, δειλοτέρους δὲ νόσος.
Anth. Pal. 7,234.

LIII. Neid.

599. Καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων,
καὶ πτωχὸς πτωχῷ φθονέει καὶ ἀοιδὸς ἀοιδῷ.
Hes. Op. 25.

600. Κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος. Pind. Pyth. 1,85.

601. Ὄψον δὲ λόγοι φθονεροῖσιν·
ἅπτεται δ' ἐσλῶν ἀεί, χειρόνεσσι δ' οὐκ ἐρίζει.
Pind. Nem. 8,21.

602. Ὁ δ' ἀφθόνητός γ' οὐκ ἐπίζηλος πέλει. Aesch. Ag. 939.

603. Πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει. Soph. Aj. 157.

604. Φιλεῖ γὰρ ἡ δύσκλεια τοὺς φθονουμένους
νικᾶν ἐπ' αἰσχροῖς ἢ ἐπὶ τοῖς καλοῖς πλέον.
Soph. fr. 186.

605. Φθόνον οὐ σεβῶ,
φθονεῖσθαι δὲ θέλομι· ἂν ἐπ' ἐσθλοῖς. Eur. fr. 814.

606. Σοφίας φθονῆσαι μᾶλλον ἢ πλούτου καλόν.
Agathon fr. 25.

607. Χαίρω δ' ὁρῶν φθονοῦντα, τοῦτ' εἰδὼς ὅτι
ἓν ὄρᾳ μόνον δίκαιον ὢν ποιεῖ φθόνος·
λυπεῖ γὰρ αὐτὸ τὸ κτῆμα τοὺς κεκτημένους.
Karkinus fr. 8.

608. Μὴ φθόνει τοῖς εὐτυχοῦσι, μὴ δοκῇς εἶναι κακός.
Chares fr. 3.

609. Φθόνος κάκιστος κἀδικώτατος θεός,
κακοῖς τε χαίρει κἀγαθοῖς ἀλγύνεται. Hippothoon fr. 2.

610. Δεινοὶ γὰρ ἀνδρὶ πάντες ἐσμὲν εὐκλεεῖ
ζῶντι φθονῆσαι, κατθανόντα δ' αἰνέσαι. Mimnermus fr. 1.

611. Τοῖς οὐδὲν οὖσιν οὐδὲ εἷς ὅλως φθονεῖ. Dionysius fr. X 7.

612. Ἀεὶ τὰ σεμνὰ πάντα κέκτηται φθόνον. Fr. tr. ad. 530.

613. Ἅπαν τὸ λίαν συνετόν ἐστ' ἐπίφθονον. Fr. tr. ad. 531.

614. Ὁ φθόνος ἐν αὐτῷ τοῦθ' ἓν ἐπιεικῶς ποιεῖ·
τὸν αἱρετιστὴν ὄντα τῶν αὑτοῦ τρόπων
λυμαίνεται μάλιστα διὰ παντὸς συνών. Philemon fr. 131.

615. Ὁ φθονερὸς αὑτῷ πολέμιος καθίσταται·
αὐθαιρέτοις γὰρ συνέχεται λύπαις ἀεί. Menander fr. 634.

616. Ὁ φθόνος αὐτὸς ἑαυτὸν ἑοῖς βελέεσσι δαμάζει.
Anth. Pal 10,111.

617. Ὁ φθόνος ὡς κακόν ἐστιν· ἔχει δέ τι καλὸν ἐν αὐτῷ·
τήκει γὰρ φθονερῶν ὄμματα καὶ κραδίην.
Anth. Pal. 11,193.

LIV. Notwendigkeit.

618. Πᾶν γὰρ ἀναγκαῖον πρᾶγμ' ἀνιαρὸν ἔφυ. Euenus fr. 8.

619. Τὴν πεπρωμένην δὲ χρὴ
αἶσαν φέρειν ὡς ῥᾷστα, γιγνώσκειν δ' ὅτι
τὸ τῆς ἀνάγκης ἔστ' ἀδήριτον σθένος. Aesch. Prom. 103.

620. Τέχνη δ' ἀνάγκης ἀσθενεστέρα μακρῷ. Aesch. Prom. 514.

621. Πρὸς τὴν ἀνάγκην οὐδ' Ἄρης ἀνθίσταται. Soph. fr. 235.

622. Ἓν φῦλον ἀνθρώπων μι' ἔδειξε πατρὸς
καὶ ματρὸς ἡμᾶς ἁμέρα τοὺς πάντας· οὐδεὶς
ἔξοχος ἄλλος ἔβλαστεν ἄλλου·
βόσκει δὲ τοὺς μὲν μοῖρα δυσαμερίας,
τοὺς δ' ὄλβος ἡμῶν, τοὺς δὲ δουλαίας ἐν αὐλαῖς
ἀλλοτρίαις ζυγὸν ἔσχ' ἀνάγκας. Soph. fr. 532.

623. Ἐγὼ καὶ διὰ μούσας
καὶ μετάρσιος ἦξα, καὶ
πλείστων ἁψάμενος λόγων
κρεῖσσον οὐδὲν Ἀνάγκας
εὗρον. Eur. Alc. 962.

624. Λόγος γάρ ἐστιν οὐκ ἐμός, σοφῶν δ' ἔπος
δεινῆς ἀνάγκης οὐδὲν ἰσχύειν πλέον. Eur. Hel. 513.

625. Τὰς τῶν θεῶν γὰρ ὅστις ἐκμοχθεῖν τύχας
πρόθυμός ἐστιν, ἡ προθυμία δ' ἄφρων·
ὃ χρὴ γὰρ οὐδεὶς μὴ χρεὼν θήσει ποτέ. Eur. H. f. 309.

626. Πρὸς τὴν ἀνάγκην πάντα τἄλλ' ἔστ' ἀσθενῆ.
Eur. fr. 299.

LV. Rat.

627. Οἱ αὐτῷ κακὰ τεύχει ἀνὴρ ἄλλῳ κακὰ τεύχων,
ἡ δὲ κακὴ βουλὴ τῷ βουλεύσαντι κακίστη.
Hes. Op. 265.

628. Ἐλαφρὸν ὅστις πημάτων ἔξω πόδα
ἔχει παραινεῖν νουθετεῖν τε τὸν κακῶς
πράσσοντα. Aesch. Prom. 263.

629. Βουλῆς γὰρ οὐδέν ἐστιν ἔχθιον κακῆς. Soph. El. 1047.

630. Ῥᾷον παραινεῖν ἢ παθόντα καρτερεῖν. Eur. Alc. 1078.

631. Μισῶ δ' ἐγὼ σοφὸν λόγοισιν, ἐς δ' ὄνησιν οὐ σοφόν.
Eur. fr. 61.

632. Σοφώτεροι γὰρ συμφορὰς τὰς τῶν πέλας
πάντες διαθρεῖν ἢ τύχας τὰς οἴκοθεν. Eur. fr. 102.

633. Ἅπαντές ἐσμεν εἰς τὸ νουθετεῖν σοφοί,
αὐτοὶ δ' ὅταν σφαλῶμεν, οὐ γινώσκομεν. Eur. fr. 1042.

634. Χαλεπὸν τὸ ποιεῖν, τὸ δὲ κελεῦσαι ῥᾴδιον.
Philemon fr. 27.

635. Ἀνὴρ γυναικὸς λαμβάνων συμβουλίαν
πεσεῖν δεδοικώς, βούλεται πάλιν πεσεῖν.
Philemon fr. 177.

636. Οὐ χαλεπόν ἐστι τῷ κακῶς διακειμένῳ
εἰπεῖν τιν' ἐσθίοντα „μὴ κακῶς ἔχε,"
πυκτῇ ἐπιτιμᾶν οὐδὲν ἔργον μαχομένῳ,
αὐτὸν μάχεσθαι δ' οὐκέτ' ἐστὶ ῥᾴδιον·
ἕτερόν τι τὸ λέγειν ἐστὶ τοῦ πεπονθέναι.
Philippides fr. 15.

637. Ἐλαφρὸν παραινεῖν τῷ κακῶς πεπραγότι.
Fr. com. ad. 1284.

LVI. Rede, Sprache, Wortstreit.

638. Ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ' ἐνὶ βουλῇ.
Hom. Il. 16,630.

639. Στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι
παντοῖοι· ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.
Hom. Il. 20,248.

640. Γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος
φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης·
εἰ δὲ κακὸν εἴπῃς, τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις.
Hes. Op. 719.

641. Μὴ πρὸς ἅπαντας ἀναρρῆξαι τὸν ἀχρεῖον λόγον·
ἔσθ' ὅτε πιστοτάτα σιγᾶς ὁδός· κέντρον δὲ μάχας ὁ
κρατιστεύων λόγος.
Pind. fr. 180.

642. Πολλοῖς ἀνθρώπων γλώσσῃ θύραι οὐκ ἐπίκεινται
ἁρμόδιαι καί σφιν πόλλ' ἀλάλητα πέλει.
πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδοθεν ἦλθεν·
ἐσθλὸν δ' ἐξελθεῖν λώϊον ἢ τὸ κακόν.
Theogn. 421.

643. Αἴκ εἴπῃς τὰ θέλεις, ἀκούσαις κεν, τά κ' οὐ θέλοις.
Alcaeus fr. 83.

644. Οὔ τι τὰ πολλὰ ἔπη φρονίμην ἀπεφήνατο δόξαν·
ἕν τι μάτευε σοφόν,
ἕν τι κεδνὸν αἴρου·
παύσεις γὰρ ἀνδρῶν κωτίλων γλώσσας ἀπεραντολόγους.
Thales fr. 1.

645. Οὐχ ὁ λόγος αὔξει τὴν τέχνην περισσὸς ὤν,
ἀλλ' αὐτὰ κοσμεῖ τὴν τέχνην τὰ πράγματα. Hermodotus?

646. Γλώσσῃ ματαίᾳ ζημία προστρίβεται. Aesch. Prom. 329.

647. Τῶν τοι ματαίων ἀνδράσιν φρονημάτων
ἡ γλῶσσ' ἀληθὴς γίγνεται κατήγορος. Aesch. Spt. 438.

648. Θρασυστομεῖν γὰρ οὐ πρέπει τοὺς ἥσσονας.
Aesch. Suppl. 203.

649. Πολλά τοι σμικροὶ λόγοι
ἔσφηλαν ἤδη καὶ κατώρθωσαν βροτούς. Soph. El. 415.

650. Ἀλλ' οὐ γὰρ αὐδᾶν ἔσθ', ἃ μηδὲ δρᾶν καλόν.
Soph. O. R. 1409.

651. Ἄνδρα δ' οὐδέν' οἶδ' ἐγὼ
δίκαιον, ὅστις ἐξ ἅπαντος εὖ λέγει. Soph. O. C. 806.

652. Χωρὶς τό τ' εἰπεῖν πολλὰ καὶ τὰ καίρια.
Soph. O. C. 808.

653. Στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν.
Soph. Ant. 277.

654. Κἀξ ἀγεννήτων ἄρα
μῦθοι καλῶς πίπτουσιν. Soph. Tr. 61.

655. Ταὐτὸ δ' οὐχὶ γίγνεται
δόκησιν εἰπεῖν κἀξακριβῶσαι λόγον. Soph. Tr. 425.

656. Τὸ γὰρ
νοσοῦντ' ἐλέγχειν ἀνδρὸς οὐχὶ σώφρονος. Soph. Tr. 434.

657. Τὰ γὰρ περισσὰ πανταχοῦ λυπήρ' ἔπη. Soph. fr. 79.

658. Ἀνὴρ γὰρ ὅστις ἤδεται λέγων ἀεί,
λέληθεν αὑτὸν τοῖς ξυνοῦσιν ὢν βαρύς. Soph. fr. 99.

659. Τὸ γὰρ καλῶς
πεφυκὸς οὐδεὶς ἂν μιαίνειεν λόγος. Soph. fr. 100.

660. Γλῶσσ' ἐν κενοῖσιν ἀνδράσιν τιμὴν ἔχει,
ὅπου λόγοι σθένουσι τῶν ἔργων πλέον. Soph. fr. 192.

661. Σμικρᾶς ἀπ' ἀρχῆς νεῖκος ἀνθρώποις μέγα
γλῶσσ' ἐκπορίζει· τοῦτο δ' οἱ σοφοὶ βροτῶν
ἐξευλαβοῦνται, μὴ φίλοις τεύχειν ἔριν. Eur. Andr. 642.

662. Ὅταν λάβῃ τις τῶν λόγων ἀνὴρ σοφὸς
καλὰς ἀφορμάς, οὐ μέγ' ἔργον εὖ λέγειν. Eur. Bacch. 266.

663. Μῶρα γὰρ μῶρος λέγει. Eur. Bacch. 369.

664. Ἀχαλίνων στομάτων
ἀνόμου δ' ἀφροσύνας
τὸ τέλος δυστυχία. Eur. Bacch. 386.

665. Δόξει τις ἀμαθεῖ σοφὰ λέγων οὐκ εὖ λέγειν.
Eur. Bacch. 480.

666. Λόγος γὰρ ἔκ τ' ἀδοξούντων ἰὼν
κἀκ τῶν δοκούντων αὐτὸς οὐ ταὐτὸν σθένει.
Eur. Hec. 294.

667. Φεῦ φεῦ βροτοῖσιν ὡς τὰ χρηστὰ πράγματα
χρηστῶν ἀφορμὰς ἐνδίδωσ' ἀεὶ λόγων. Eur. Hec. 1238.

668. Γλώσσῃ γὰρ οὐδὲν πιστόν, ἡ θυραῖα μὲν
φρονήματ' ἀνδρῶν νουθετεῖν ἐπίσταται,
αὐτὴ δ' ὑφ' αὑτῆς πλεῖστα κέκτηται κακά.
Eur. Hipp. 394.

669. Τοῦτ' ἔσθ' ὃ θνητῶν εὖ πόλεις οἰκουμένας
δόμους τ' ἀπόλλυσ', οἱ καλοὶ λίαν λόγοι·
οὐ γάρ τι τοῖσιν ὠσὶ τερπνὰ χρὴ λέγειν
ἀλλ' ἔξ ὅτου τις εὐκλεὴς γενήσεται. Eur. Hipp. 486.

670. Τὰ μακρὰ τῶν σμικρῶν λόγων
ἐπίπροσθέν ἐστι καὶ σαφῆ μᾶλλον κλύειν. Eur. Or. 640.

671. Πᾶν γὰρ ἐξαιρεῖ λόγος,
ὃ καὶ σίδηρος πολεμίων δράσειεν ἄν. Eur. Phoen. 516.

672. Οὔτ' ἐκ χερὸς μεθέντα καρτερὸν λίθον
ῥᾷον καταρχεῖν οὔτ' ἀπὸ γλώσσης λόγον. Eur. fr. 1044.

673. Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν,
ὡς καὶ γέροντι καὶ νέῳ τιμὴν ἔχει
ἡ γλῶσσα σιγὴν καιρίαν κεκτημένη. Chares fr. 2.

674. Ὡς σπλήνιον πρὸς ἕλκος οἰκείως τεθὲν
τὴν φλεγμόνην ἔπαυσεν, οὕτω καὶ λόγος

εὔκαιρος εἰς τὰ σπλάγχνια κολληθεὶς φίλων
εὐψυχίαν παρέσχε τῷ λυπουμένῳ. Philemon fr. 113.

675. Ἀνδρὸς χαρακτὴρ ἐκ λόγου γνωρίζεται. Menander fr. 72.

676. Λύπης ἰατρός ἐστιν ἀνθρώποις λόγος·
ψυχῆς γὰρ οὗτος μόνος ἔχει θελκτήρια·
λέγουσι δ' αὐτὸν οἱ πάλαι σοφώτατοι
ἀστεῖον εἶναι φάρμακον. Menander fr. 559.

677. Οὐκ ἔργον ἐστὶν εὖ λέγειν, ἀλλ' εὖ φρονεῖν·
πολλοὶ γὰρ εὖ λέγοντες οὐκ ἔχουσι νοῦν.
Posidippus fr. 33.

678. Τὸ μὲν λέγειν βροτοῖς
ἡ φύσις ἔδωκε, τὸ δὲ καλῶς λέγειν τέχνη.
Fr. com. ad. 403.

LVII. Reichtum.

679. Ῥεῖα δ' ἀρίγνωτος γόνος ἀνέρος, ᾧ τε Κρονίων
ὄλβον ἐπικλώσῃ γαμέοντί τε γεινομένῳ τε.
Hom. Od. 4,207.

680. Χρήματα γὰρ ψυχὴ πέλεται δειλοῖσι βροτοῖσι.
Hes. Op. 686.

681. Ὁ πλοῦτος εὐρυσθενής,
ὅταν τις ἀρετᾷ κεκραμένον καθαρᾷ
βροτήσιος ἀνὴρ πότμου παραδόντος αὐτὸν ἀνάγῃ
πολύφιλον ἐπέταν. Pind. Pyth. 5,1.

682. Σὺν θεῷ γάρ τοι φυτευθεὶς ὄλβος ἀνθρώποισι παρμονώτερος.
Pind. Nem. 8,17.

683. Πλοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον ἀεί·
οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις,
ὡς δ' αὖτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει,
ἀλλ' ἔραται· θυμὸν δ' οὐ δύναται κορέσαι.
Theogn. 1153.

684. Εἴ τις καθείρξαι χρυσὸν ἐν δόμοις πολλὸν
καὶ σῦκα βαιὰ καὶ δύ' ἢ τρεῖς ἀνθρώπους,
γνοίη χ' ὅσῳ τὰ σῦκα τοῦ χρυσοῦ κρέσσω.
Ananius fr. 3.

685. Ὁ πλοῦτος ἄνευ σεῦ γ' ἀρέτα 'στ' οὐκ ἀσίνης πάροικος.
Sappho fr. 80.

686. Ὤφελέν σ', ὦ τυφλὲ Πλοῦτε,
μήτε γῇ, μήτ' ἐν θαλάσσῃ
μήτ' ἐν ἤπείρῳ φανῆμεν,
ἀλλὰ Τάρταρόν τε ναίειν
κἀχέροντα· διὰ σὲ γὰρ σύμπαντ'
ἔστ' ἐν ἀνθρώποις κακά. Timokreon fr. 8.

687. Πρόπρυμνα δ' ἐκβολὴν φέρει
ἀνδρῶν ἀλφηστᾶν ὄλβος ἄγαν παχυνθείς.
Aesch. Spt. 769.

688. Ἡ γὰρ φύσις βέβαιος, οὐ τὰ χρήματα·
ἡ μὲν γὰρ ἀεὶ περιμένουσ' αἴρει κακά·
ὁ δ' ὄλβος ἀδίκως καὶ μετὰ σκαιῶν ξυνὼν
ἐξέπτατ' οἴκων, σμικρὸν ἀνθήσας χρόνον. Eur. El. 941.

689. Ἔστιν δ' ἐν ὄλβῳ καὶ τόδ' οὐκ ὀρθῶς ἔχον,
εὐψυχίας δόκησις· οἰόμεσθα γὰρ
τὸν εὐτυχοῦντα πάντ' ἐπίστασθαι χρεών. Eur. Her. 745.

690. Ὁ πλοῦτος, ἀνθρώπισκε, τοῖς σοφοῖς θεός·
τὰ δ' ἄλλα κόμπαι καὶ λόγων εὐμορφίαι. Eur. Kykl. 316.

691. Τὰ χρήματ' ἀνθρώποισι τιμιώτατα
δύναμίν τε πλείστην τῶν ἐν ἀνθρώποις ἔχει.
Eur. Phoen. 439.

692. Τί δ' ἐστι τὸ πλέον; ὄνομ' ἔχει μόνον·
ἐπεὶ τά γ' ἀρκοῦνθ' ἱκανά τοῖς γε σώφροσιν.
οὗτοι τὰ χρήματ' ἴδια κέκτηνται βροτοί,
τὰ τῶν θεῶν δ' ἔχοντες ἐπιμελούμεθα·
ὅταν δὲ χρήζωσ', αὖτ' ἀφαιροῦνται πάλιν.
ὁ δ' ὄλβος οὐ βέβαιος, ἀλλ' ἐφήμερος. Eur. Phoen. 597.

693. Δειλὸν δ' ὁ πλοῦτος καὶ φιλόψυχον κακόν.
Eur. Phoen. 597.

694. Μὴ πλοῦτον εἴπῃς· οὐχὶ θαυμάζω θεόν,
ὃν χὠ κάκιστος ῥᾳδίως ἐκτήσατο. Eur. fr. 20.

695. Ἄδικον ὁ πλοῦτος, πολλὰ δ' οὐκ ὀρθῶς ποιεῖ.
Eur. fr. 55.

696. Ἀλλ' οὐδὲν εὐγένεια πρὸς τὰ χρήματα·
τὸν γὰρ κάκιστον πλοῦτος εἰς πρώτους ἄγει.
Eur. fr. 95.

697. Σκαιόν τι χρῆμα πλοῦτος ἥ τ' ἀπειρία. Eur. fr. 96.

698. Ὦ χρυσέ, δεξίωμα κάλλιστον βροτοῖς,
ὡς οὔτε μήτηρ ἡδονὰς τοίας ἔχει,
οὐ παῖδες ἀνθρώποισιν, οὐ φίλος πατήρ,
οἵας σὺ χοἱ σὲ δώμασιν κεκτημένοι.
εἰ δ' ἡ Κύπρις τοιοῦτον ὀφθαλμοῖς ὁρᾷ,
οὐ θαῦμ' ἔρωτας μυρίους αὐτὴν τρέφειν. Eur. fr. 324.

699. Νῦν δ' ἦν τις οἴκων πλουσίων ἔχῃ φάτνην,
πρῶτος γέγραπται τῶν τ' ἀμεινόνων κρατεῖ·
τὰ δ' ἔργ' ἐλάσσω χρημάτων νομίζομεν. Eur. fr. 378.

700. Ἀνθρώποισι παντοίαν τύχαι
μορφὴν ἔχουσι, συντρέχει δ' εἰς ἓν τόδε·
θνητοὶ δὲ πάντες, οἵ τε μουσικῆς φίλοι
ὅσοι τε χωρὶς ζῶσι, χρημάτων ὕπερ
μοχθοῦσιν, ὃς δ' ἂν πλεῖστ' ἔχῃ, σοφώτατος.
Eur. fr. 580.

701. Τὸν ὄλβον οὐδὲν οὐδαμοῦ κρίνω βροτοῖς,
ὃν γ' ἐξαλείφει ῥᾷον ἢ γραφὴν χρόνος. Eur. fr. 618.

702. Πολλῶν τὰ χρήματ' αἴτι' ἀνθρώποις κακῶν.
Eur. fr. 632.

703. Τί γάρ με πλοῦτος ὠφελεῖ νόσῳ βαρύν;
σμίκρ' ἂν θέλοιμι καὶ καθ' ἡμέραν ἔχων
ἄλυπος οἰκεῖν μᾶλλον ἢ πλουτῶν νοσεῖν. Eur. fr. 714.

704. Ἅπαντα τῷ πλουτεῖν γάρ ἐσθ' ὑπήκοα. Ar. Av. 146.

705. Ὁ δὲ πλοῦτος ἡμᾶς, καθάπερ ἰατρὸς κακός,
πάντας βλέποντας παραλαβὼν τυφλοὺς ποιεῖ.
Antiphanes fr. 259.

706. Ψυχὴν ἔχειν δεῖ πλουσίαν· τὰ δὲ χρήματα
ταῦτ' ἐστὶν ὄψις, παραπέτασμα τοῦ βίου.
Antiphanes fr. 327.

707. Οὐπώποτ' ἐζήλωσα πλουτοῦντα σφόδρα
ἄνθρωπον, ἀπολαύοντα μηδὲν ὧν ἔχει. Antiphanes fr. 328.

708. Τῶν γὰρ ἀγαθῶν τὸν πλοῦτον ὕστατον τίθει·
ἀβεβαίστατον γάρ ἐστιν ὧν κεκτήμεθα.
τὰ δ' ἄλλ' ἐπιεικῶς τοῖς ἔχουσι παραμένει.
Alexis fr. 281.

709. Ταὐργύριόν ἐστιν αἷμα καὶ ψυχὴ βροτοῖς·
ὅστις δὲ μὴ ἔχει τοῦτο μηδ' ἐκτήσατο,
οὗτος μετὰ ζώντων τεθνηκὼς περιπατεῖ. Timokles fr. 35.

710. Τὸ τῆς Ἀμαλθείας δοκεῖς εἶναι κέρας,
οἷον γράφουσιν οἱ γραφεῖς κέρας βοός;
ἀργύριόν ἐστι· τοῦτ' ἐὰν ἔχῃς, λέγε
πρὸς τοῦτ', εἰ βούλει, πάντα σοι γενήσεται,
φίλοι, βοηθοί, μάρτυρες, συνοικίαι. Philemon fr. 65.

711. Πλοῦτος δὲ πολλῶν ἐπικάλυμμ' ἐστὶν κακῶν.
Menander fr. 90.

712. Πλοῦτός τ' ἀλόγιστος προσλαβὼν ἐξουσίαν
καὶ τοὺς φρονεῖν δοκοῦντας ἀνοήτους ποιεῖ.
Menander fr. 665.

LVIII. Richten, Urteil.

713. Μηδὲ δίκην δικάσῃς, πρὶν ἂν ἀμφοῖν μῦθον ἀκούσῃς.
Hes. fr. 182.

714. Τίς ἂν δίκην κρίνειεν ἢ γνοίη λόγον,
πρὶν ἂν παρ' ἀμφοῖν μῦθον ἐκμάθῃ σαφῶς; Eur. Her. 179.

715. Χαλεπός γ' ἀκρατὴς ἀσύνετος καθήμενος·
ὑπὸ γὰρ ἀνοίας οὐχ ἑαυτὸν μέμφεται. Philemon fr. 143.

716. Ὀξύτερον
οἱ γείτονες βλέπουσι τῶν ἀλωπέκων. Fr. com. ad. 435.

717. Αἰσχρὸν δὲ κρίνειν τὰ καλὰ τῶν πολλῶν ψόφῳ.
Fr. com. ad. 518.

718. Τά γ' αὐτὸς αὑτοῦ πᾶς τις εὐπρεπῆ κρίνει.
Babrius 56,9.

LIX. Ruf, Nachrede.

719. Ὣδ' ἔρδειν· δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην·
φήμη γάρ τε κακὴ πέλεται καύφη μὲν ἀεῖραι
ῥεῖα μάλ', ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ' ἀποθέσθαι·
φήμη δ' οὔτις πάμπαν ἀπόλλυται, ἥντινα πολλοὶ
λαοὶ φημίξωσι· θεός νύ τίς ἐστι καὶ αὐτή. Hes. Op. 760.

720. Ὁ δ' ὄλβιος, ὃν φᾶμαι κατέχοντ' ἀγαθαί. Pind. Ol. 7,10.

721. Φήμη γε μέντοι δημόθρους μέγα σθένει. Aesch. Ag. 938.

722. Ζῆν γὰρ κακῶς κλύουσαν οὐκ ἀνασχετόν,
ἥτις προτιμᾷ μὴ κακὴ πεφυκέναι. Soph. Tr. 721.

723. Φήμη τὸν ἐσθλὸν κἀν μυχοῖς δείκνυσι γῆς.
Eur. fr. 865.

724. Κακῶς ἀκούειν ὅστις οὐκ ὀργίζεται,
πονηρίας πλείστης τεκμήριον φέρει. Menander fr. 614.

725. Τὸ δοκεῖν διαβολὴν ἔσχε μείζω τοῦ ποιεῖν.
Menander fr. 790.

LX. Schicksal, Geschick.

726. Μοῖραν δ' οὔτινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
οὐ κακόν, οὐδὲ μὲν ἐσθλόν, ἐπὴν τὰ πρῶτα γένηται.
Hom. Il. 6,488.

727. Τὸ πεπρωμένον οὐ πῦρ, οὐ σιδάρεον
σχήσει τεῖχος. Pind. fr. 232.

728. Πάντα τύχη καὶ μοῖρα, Περίκλεε, ἀνδρὶ δίδωσιν.
Archilochus fr. 16.

729. Θνατοῖσι δ' οὐκ αὐθαίρετοι
οὔτ' ὄλβος οὔτ' ἄκαμπτος Ἄρης οὔτε πάμφθερσις στάσις,
ἀλλ' ἐπιχρίμπτει νέφος ἄλλοτ' ἐπ' ἄλλαν
γαῖαν ἁ πάνδωρος αἶσα. Bacchylides fr. 36.

730. Οὔποτε θνατῶν
τὰν Διὸς ἁρμονίαν ἀνδρῶν παρεξίασι βουλαί.
Aesch. Prom. 550.

731. Ὅτι τοι μόρσιμόν ἐστιν, τὸ γένοιτ' ἄν.
Διὸς οὐ πάρβατός ἐστιν μεγάλα φρὴν ἀπέραντος.
Aesch. Suppl. 1047.

732. Τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει
καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερός.
Aesch. Choeph. 103.

733. Ὅταν δέ τις θεῶν
βλάπτῃ, δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν. Soph. El. 696.

734. Πεπρωμένης
οὐκ ἔστι θνητοῖς συμφορᾶς ἀπαλλαγή. Soph. Ant. 1337.

735. Θεοῦ δὲ πάγιδας οὐχ ὑπερπηδᾷ βροτός. Soph. fr. 876.

736. Πολλαὶ μορφαὶ τῶν δαιμόνων,
πολλὰ δ' ἀέλπτως κραίνουσι θεοί
καὶ τὰ δοκηθέντ' οὐκ ἐτελέσθη,
τῶν δ' ἀδοκήτων πόρον εὗρε θεός. Eur. Alc. 1159.

737. Πρὸς τὰς τύχας τὸ χάρμα τοὺς γόους τ' ἔχε.
Eur. Hel. 321.

738. Τύχη τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία.
Chaeremon fr. 2.

739. Νῦν δ' οἶδ' ἀκριβῶς τὴν τύχην ὡς οὐ μία,
οὐδ' ἔστι πρώην, ἀλλὰ μετὰ τῶν σωμάτων
ἡμῶν, ὅταν γενώμεθ', εὐθὺς χἡ τύχη
προσγίνεθ' ἡμῖν συγγενὴς τῷ σώματι·
κοὐκ ἔστιν ἕτερον παρ' ἑτέρου λαβεῖν τύχην.
Philemon fr. 10.

740. Ὥσπερ κυαθίζουσ' ἐνίοθ' ἡμῖν ἡ τύχη
ἓν ἀγαθὸν ὑποχέασα τρι' ἐπαντλεῖ κακά. Diphilus fr. 107.

741. Οὐδεὶς δὲ νικᾷ μὴ θελούσης τῆς τύχης.
Fr. com. ad. 1267.

742. Οὐκ ἔστιν ἀλύξαι
ἀνθρώποις, ὅτι Μοῖρα κατὰ κλωστῆρος ἐπείγει.
Theokr. 19,68.

743. Τύχη καπηλεύουσα πάντα τὸν βίον
ἀσυγκέραστον τὴν φύσιν κεκτημένη,
καὶ συγκυκῶσα καὶ μεταντλοῦσ' αὖ πάλιν,
καὐτὴ κάπηλός ἐστι νῦν τις, οὐ θεά,
τέχνην λαχοῦσα τὴν τρόπων ἐπαξίαν. Anth. Pal. 9,180.

744. Οὐ λόγον, οὐ νόμον οἶδε Τύχη, μερόπων δὲ τυραννεῖ,
τοῖς ἰδίοις ἀλόγως ῥεύμασι συρομένη.
Μᾶλλον τοῖς ἀδίκοισι ῥέπει, μισεῖ δὲ δικαίους,
ὡς ἐπιδεικνυμένη τὴν ἄλογον δύναμιν.
Anth. Pal. 10,62.

LXI. Schmerz, Kummer, Trauer.

745. Αἰψηρὸς δὲ κόρος κρυεροῖο γόοιο. Hom. Od. 4,103.

746. Ὡς τἀποκλαῦσαι κἀποδύρασθαι τύχας
ἐνταῦθ', ὅπῃ μέλλοι τις οἴσεσθαι δάκρυ
πρὸς τῶν κλυόντων, ἀξίαν τριβὴν ἔχει. Aesch. Prom. 637.

747. Τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις;
οὐ γὰρ γένοιτ' ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχει.
Soph. Aj. 377.

748. Παύετε θρήνων, παῖδες· ἐν οἷς γὰρ
χάρις ἡ χθονία νὺξ ἐπίκειται,
πενθεῖν οὐ χρή· νέμεσις γάρ. Soph. O. C. 1713.

749. Ἀλλ' εἰ μὲν ἦν κλαίουσιν ἰᾶσθαι κακὰ
καὶ τὸν θανόντα δακρύοις ἀνιστάναι,
ὁ χρυσὸς ἧσσον κτῆμα τοῦ κλαίειν ἂν ἦν. Soph. fr. 513.

750. Παῦσαι δὲ λύπης τῶν τεθνηκότων ὕπερ·
πᾶσιν γὰρ ἀνθρώποισιν ἥδε πρὸς θεῶν
ψῆφος κέκρανται κατθανεῖν τ' ὀφείλεται.
Eur. Andr. 1270.

751. Καίτοι λέγουσιν ὡς πρὸς ἀνδρὸς εὐγενοῦς
ἐν ξυμφοραῖσι δάκρυ' ἀπ' ὀφθαλμῶν βαλεῖν.
Eur. Hel. 950.

752. Ἡ δυσγένεια δ' ὡς ἔχει τι χρήσιμον·
καὶ γὰρ δακρῦσαι ῥᾳδίως αὐτοῖς ἔχει,
ἅπαντα δ' εἰπεῖν. τῷ δὲ γενναίῳ φύσιν
ἄνολβα ταῦτα· προστάτην δὲ τοῦ βίου
τὸν ὄγκον ἔχομεν τῷ τ' ὄχλῳ δουλεύομεν.
Eur. I. A. 446.

753. Ὡς ἡδὺ δάκρυα τοῖς κακῶς πεπραγόσι
θρήνων τ' ὀδυρμοὶ μοῦσά θ' ἡ λύπας ἔχει.
Eur. Tr. 608.

754. Παλαιὰ καινοῖς δακρύοις οὐ χρὴ στένειν. Eur. fr. 43.

755. Ἀλλ' ἔστι γὰρ δὴ κἀν κακοῖσιν ἡδονὴ
θνητοῖς ὀδυρμοὶ δακρύων τ' ἐπιρροαί·
ἀλγηδόνας τε ταῦτα κουφίζει φρενῶν
καὶ καρδίας ἔλυσε τοὺς ἄγαν πόνους. Eur. fr. 573.

756. Πενθεῖν δὲ μετρίως τοὺς προσήκοντας φίλους·
οὐ γὰρ τεθνᾶσιν, ἀλλὰ τὴν αὐτὴν ὁδόν,
ἣν πᾶσιν ἐλθεῖν ἔστ' ἀναγκαίως ἔχον,
προεληλύθασιν. εἶτα χἡμεῖς ὕστερον
εἰς ταὐτὸ καταγωγεῖον αὐτοῖς ἥξομεν,
κοινῇ τὸν ἄλλον συνδιατρίψοντες χρόνον.
Antiphanes fr. 53.

757. Λύπη μανίας ὁμότοιχος εἶναι μοι δοκεῖ. Antiphanes fr. 295.

758. Μὴ κλᾶε τοὺς θανόντας· οὐ γὰρ ὠφελεῖ
τὰ δάκρυ' ἀναισθήτῳ γεγονότι καὶ νεκρῷ.
Menander fr. 705.

759. Τί περισσὰ θρηνεῖς; τί δὲ μάτην ὀδύρεαι;
εἰς κοινὸν Ἅιδην πάντες ἥξουσιν βροτοί.
Anth. Pal. 7,335.

LXII. Seele.

760. Μὴ χρώμασιν τὸ σῶμα λαμπρύνειν θέλε,
ἔργοις δὲ καθαροῖς καὶ τρόποις τὴν καρδίαν.
Antiphanes fr. 264.

761. Ψυχὴν ἔχειν δεῖ πλουσίαν· τὰ δὲ χρήματα
ταῦτ' ἐστὶν ὄψις, παραπέτασμα τοῦ βίου.
Menander fr. 1094.

762. Ἂν καλὸν ἔχῃ τις σῶμα καὶ ψυχὴν κακήν,
καλὴν ἔχει ναῦν καὶ κυβερνήτην κακόν. Menander fr. 1100.

763. Βέλτιόν ἐστι σῶμά γ' ἢ ψυχὴν νοσεῖν. Men. mon. 75.

LXIII. Selbstkenntnis.

764. Κατὰ πόλλ' ἄρ' ἐστὶν οὐ καλῶς εἰρημένον
τὸ γνῶθι σαυτόν· χρησιμώτερον γὰρ ἦν
τὸ γνῶθι τοὺς ἄλλους. Menander fr. 240.

765. Τὸ γνῶθι σαυτὸν πανταχοῦ 'στι χρήσιμον.
Men. mon. 730.

766. Τὸ γνῶθι σαυτὸν ἐν λόγοις οὐδὲν μέγα·
ἔργῳ δὲ τοῦτο μόνος ἐπίσταται θεός. Fr. com. ad. 389.

LXIV. Sieg.

767. Αὐτὰρ ὕπερθεν
νίκης πείρατ' ἔχονται ἐν ἀθανάτοισι θεοῖσι.
Hom. Il. 7,101.

768. Ἄφρων δ' ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν,
νίκης τε στέρεται πρός τ' αἴσχεσιν ἄλγεα πάσχει.
Hes. Op. 210.

769. Τοῖς τοι δικαίοις χὠ βραχὺς νικᾷ μέγαν.
Soph. O. C. 880.

770. Καὶ μὴν τὸ νικᾶν ἐστι πᾶν εὐβουλία. Eur. Phoen. 721.

771. Ἐν οἷς τὸ νικᾶν βλαβερόν, ἡττᾶσθαι καλόν.
Fr. com. ad. 452.

LXV. Sklaven, Sklaverei.

772. Τῆς ἀναγκαίας τύχης
οὐκ ἔστιν οὐδὲν μεῖζον ἀνθρώποις κακόν. Soph. Aj. 485.

773. Ἐν γάρ τι τοῖς δούλοισιν αἰσχύνην φέρει,
τοὔνομα· τὰ δ' ἄλλα πάντα τῶν ἐλευθέρων
οὐδὲν κακίων δοῦλος, ὅστις ἐσθλὸς ᾖ. Eur. Ion. 854.

774. Χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν
κακῶς πίτνοντα καὶ φρενῶν ἀνθάπτεται. Eur. Med. 54.

775. Δοῦλον γὰρ ἐσθλὸν τοὔνομ' οὐ διαφθερεῖ,
πολλοὶ δ' ἀμείνους εἰσὶ τῶν ἐλευθέρων. Eur. fr. 511.

776. Δούλῳ γὰρ οἶμαι πατρίδος ἐστερημένῳ
χρηστὸς γενόμενός ἐστι δεσπότης πατρίς. Antiphanes fr. 265.

777. Κἂν δοῦλος ᾖ τις, σάρκα τὴν αὐτὴν ἔχει·
φύσει γὰρ οὐδεὶς δοῦλος ἐγενήθη ποτέ·
ἡ δ' αὖ τύχη τὸ σῶμα κατεδουλώσατο. Philemon fr. 95.

778. Ἐλευθέρως δούλευε· δοῦλος οὐκ ἔσει. Menander fr. 857.

LXVI. Staat.

779. Οὐκ ἀγαθὸν πολυκοιρανίη· εἷς κοίρανος ἔστω,
εἷς βασιλεύς, ᾧ ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω.
Hom. Il. 2,204.

780. Ῥᾴδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ ἀφαυροτέροις·
ἀλλ' ἐπὶ χώρας αὖτις ἔσσαι δυσπαλὲς δὴ γίνεται, ἐξαπίνας
εἰ μὴ θεὸς ἀγεμόνεσσι κυβερνατὴρ γένηται.
Pind. Pyth. 4,272.

781. Δῆμος δ' ὧδ' ἂν ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,
μήτε λίην ἀνεθεὶς μήτε πιεζόμενος. Solon fr. 6.

782. Πολλὰ μέσοισιν ἄριστα· μέσος θέλω ἐν πόλει εἶναι.
Phokylides fr. 12.

783. Ἀστοῖσιν ἀρέσκεο πᾶσιν ἐν πόλει, ᾖκε μένης·
πλείσταν γὰρ ἔχει χάριν· αὐθάδης δὲ τρόπος
πολλάκι δὴ βλαβερὰν ἐξέλαμψεν ἄταν. Bias fr. 1.

784. Πόλις ἄνδρα διδάσκει. Simonides fr. 67.

785. Πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίει. Aesch. Sept. 77.

786. Ὅπου δ' ὁ χείρων τἀγαθοῦ μεῖζον σθένει
κἀποφθίνει τὰ χρηστὰ χὠ δειλὸς κρατεῖ,
τούτους ἐγὼ τοὺς ἄνδρας οὐ στέρξω ποτέ.
Soph. Phil. 456.

787. Κοὐκ' οἶδ' ὅ τι χρὴ πρὸς ταῦτα λέγειν,
ὅταν οἵ τ' ἀγαθοὶ πρὸς τῶν ἀγενῶν
κατανικῶνται,
ποία πόλις ἂν τάδ' ἐνέγκοι; Soph. fr. 81.

788. Ὅπου δὲ μὴ τἄριστ' ἐλευθέρως λέγειν
ἔξεστι, νικᾷ δ' ἐν πόλει τὰ χείρονα,
ἁμαρτίαι σφάλλουσι τὴν σωτηρίαν. Soph. fr. 193.

789. Οὐ γάρ ποτ' ἂν γένοιτ' ἂν ἀσφαλὴς πόλις,
ἐν ᾗ τὰ μὲν δίκαια καὶ τὰ σώφρονα

λάγδην πατεῖται, κωτίλος δ' ἀνὴρ λαβὼν
πανοῦργα χερσὶ κέντρα κηδεύει πόλιν. Soph. fr. 622.

790. Ἐν τῷδε γὰρ κάμνουσιν αἱ πολλαὶ πόλεις,
ὅταν τις ἐσθλὸς καὶ πρόθυμος ὢν ἀνὴρ
μηδὲν φέρηται τῶν κακιόνων πλέον. Eur. Hec. 306.

791. Τὸ γάρ τοι συνέχον ἀνθρώπων πόλεις
τοῦτ' ἔσθ', ὅταν τις τοὺς νόμους σώζῃ καλῶς.
Eur. Suppl. 312.

792. Δεινὸν οἱ πολλοί, κακούργους ὅταν ἔχωσι προστάτας.
Eur. Or. 772.

793. Εἰ γὰρ λαβὼν ἕκαστος ὅ τι δύναιτό τις
χρηστὸν διέλθοι τοῦτο κεἰς κοινὸν φέροι
πατρίδι, κακῶν ἂν αἱ πόλεις ἐλασσόνων
πειρώμεναι τὸ λοιπὸν εὐτυχοῖεν ἄν. Eur. Phoen. 1015.

794. Μισῶ πολίτην ὅστις ὠφελῶν πάτραν
βραδὺς φανεῖται, μεγάλα δὲ βλάπτειν ταχύς,
καὶ πόριμον αὑτῷ, τῇ πόλει δ' ἀμήχανον.
Ar. Ran. 1427.

LXVII. Stolz, Hochmut.

795. Οὐχ ὁσίη κταμένοισιν ἐπ' ἀνδράσιν εὐχετάασθαι.
Hom. Od. 22,412.

796. Τίκτει γὰρ κόρος ὕβριν, ὅταν πολὺς ὄλβος ἕπηται.
Solon fr. 8.

797. Αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς
αὐτὴ καθ' αὑτὴν οὐδενὸς μεῖον σθένει. Aesch. Prom. 1012.

798. Σὺ δὲ
πάπταινε καὶ φρόντιζε, μηδ' αὐθαδίαν
εὐβουλίας ἀμείνον' ἡγήσῃ ποτέ. Aesch. Prom. 1033.

799. „Ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν
εἴδωλ' ὅσοιπερ ζῶμεν ἢ κούφην σκιάν.“ —

„Τοιαῦτα τοίνυν εἰσορῶν ὑπέρκοπον
μηδέν ποτ' εἴπῃς αὐτὸς εἰς θεοὺς ἔπος,
μηδ' ὄγκον ἄρῃς μηδέν', εἴ τινος πλέον
ἢ χειρὶ βρίθεις ἢ μακροῦ πλούτου βάθει“.
Soph. Aj. 125.

800. Ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος
φύει τ' ἄδηλα καὶ φανέντα κρύπτεται·
κοὐκ ἔστ' ἄελπτον οὐδέν, ἀλλ' ἁλίσκεται
χὠ δεινὸς ὅρκος χαἱ περισκελεῖς φρένες·
αὐθαδία τοι σκαιότητ' ὀφλισκάνει. Soph. Aj. 646.

801. Ζεὺς γὰρ μεγάλης γλώσσης κόμπους
ὑπερεχθαίρει. Soph. Ant. 127.

802. Ἀλλ ἴσθι τοι τὰ σκλήρ' ἄγαν φρονήματα
πίπτειν μάλιστα, καὶ τὸν ἐγκρατέστατον
σίδηρον ὀπτὸν ἐκ πυρὸς περισκελῆ
θραυσθέντα καὶ ῥαγέντα πλεῖστ' ἂν εἰσίδοις.
σμικρῷ χαλινῷ δ' οἶδα τοὺς θυμουμένους
ἵππους καταρτυθέντας. οὐ γὰρ ἐκπέλει
φρονεῖν μέγ', ὅστις δοῦλός ἐστι τῶν πέλας.
Soph. Ant. 473.

803. Οἱ γὰρ πνέοντες μεγάλα τοὺς κρείσσους λόγους
πικρῶς φέρουσι τῶν ἐλασσόνων ὕπο. Eur. Andr. 189.

804. Ἀλλὰ τῶν φρονημάτων
ὁ Ζεὺς κολαστὴς τῶν ἄγαν ὑπερφρόνων. Eur. Her. 387.

805. Τίς δ' οὐ σεμνός ἀχθεινὸς βροτῶν; Eur. Hipp. 94.

806. Ὦ δυστυχεῖς μὲν πολλὰ παῦρα δ' ὄλβιοι
βροτοί, τί σεμνύνεσθε ταῖς ἐξουσίαις,
ἃς ἕν τ' ἔδωκε φέγγος, ἕν τ' ἀφείλετο;
ἂν δ' εὐτυχῆτε μηδὲν ὄντες, εὐθέως
ἴσ' οὐρανῷ φρονεῖτε, τὸν δὲ κύριον
ἄδην παρεστῶτ' οὐχ ὁρᾶτε πλησίον. Sosiphanes fr. 3.

807. Κἂν μέχρι νεφέων τὴν ὀφρὺν ἀναspάσῃς,
ὁ θάνατος αὐτὴν πᾶσαν ἑλκύσει κάτω. Philemon fr. 174.

808. Τὸ γὰρ προθύμως μὴ πονήσαντας τυχεῖν
εὐδαιμονίας εἰωθ' ὑπερηφανίας ποιεῖν. Menander fr. 252.

809. Μηδεὶς ζητήσῃ μερόπων ποτὲ καὶ θεὸς εἶναι
μηδ' ἀρχὴν μεγάλην, κόμπον ὑπερφίαλον.
Anth. Pal. 7,684.

810. Βέλτερόν ἐστι τύχης καὶ θλιβομένης ἀνέχεσθαι,
ἢ τῶν πλουτούντων τῆς ὑπερηφανίης.
Anth. Pal. 10,93.

LXVIII. Strafe, Strenge.

811. Δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται. Aesch. fr. 456.

812. Τὰ σκληρὰ γάρ τοι, κἂν ὑπέρδικ' ᾖ, δάκνει.
Soph. Aj. 1119.

813. Συντέμνουσι γὰρ
θεῶν ποδώκεις τοὺς κακόφρονας βλάβαι.
Soph. Ant. 1103.

814. Εἰ δεῖν' ἔδρασας, δεινὰ καὶ παθεῖν σε δεῖ.
Soph. fr. 877.

815. Ἐσθλοῦ γὰρ ἀνδρὸς τῇ δίκῃ θ' ὑπηρετεῖν
καὶ τοὺς κακοὺς δρᾶν πανταχοῦ κακῶς ἀεί.
Eur. Hec. 844.

816. Ἀρετὰς δίωκε· καὶ γὰρ ὅστις ἂν βροτῶν
κακὸς πεφύκῃ, ζημιοῦσιν οἱ θεοί. Eur. Ion. 440.

817. Οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους.
Eur. Or. 443.

818. Κόλαζε κρίνων, ἀλλὰ μὴ θυμούμενος. Demonax fr. 2.

LXIX. Sünde, Laster.

819. Οὐ μὲν σχέτλια ἔργα θεοὶ μάκαρες φιλέουσι,
ἀλλὰ δίκην τίουσι καὶ αἴσιμα ἔργ' ἀνθρώπων.
Hom. Od. 14,83.

820. Εἰ δὲ θεὸν ἀνήρ τις ἔλπεται λελαθέμεν ἔρδων, ἁμαρτάνει.
Pind. Ol. 1,64.

821. Σοφῷ γὰρ αἰσχρὸν ἐξαμαρτάνειν. Aesch. Prom. 1039.

822. Ἐς τὸ πᾶν δέ σοι λέγω,
βωμὸν αἴδεσαι δίκας·
μηδέ νιν κέρδος ἰδὼν ἀθέῳ ποδὶ λὰξ ἀτίσῃς·
ποινὰ γὰρ ἕπεσται. Aesch. Eum. 538.

823. Οἷς γὰρ ἡ γνώμη κακῶν
μήτηρ γέγνηται, τἄλλα παιδεύει κακά. Soph. Phil. 1360.

824. Ἀνθρώποισι γὰρ
τοῖς πᾶσι κοινόν ἐστι τοὐξαμαρτάνειν·
ἐπεὶ δ' ἁμάρτῃ, κεῖνος οὐκέτ' ἔστ' ἀνὴρ
ἄβουλος οὐδ' ἄνολβος, ὅστις ἐς κακὸν
πεσὼν ἀκεῖται μηδ' ἀκίνητος πέλει. Soph. Ant. 1023.

825. Ἄκων δ' ἁμαρτὼν οὔτις ἀνθρώπων κακός.
Soph. fr. 604.

826. Ἀνθρώπους μὲν ἴσως λήσεις ἄτοπόν τι ποιήσας,
οὐ λήσεις δὲ θεοὺς οὐδὲ λογιζόμενος.
Anth. Pal. 10,27.

LXX. Tadel.

827. Ἔργμασιν ἐν μεγάλοις πᾶσιν ἁδεῖν χαλεπόν.
Solon fr. 7.

828. Ὅταν τι μέλλῃς τὸν πέλας κατηγορεῖν,
αὐτὸς τὰ σαυτοῦ πρῶτον ἐπισκέπου κακά.
Menander fr. 710.

829. Ἀνθρώπων γέ τοι
ὀφλεῖν γέλωτα κρεῖττον ἢ μέμψιν θεῶν.
Fr. com. ad. 105.

LXXI. Thorheit.

830. Ὃς δέ κε μήτ' αὐτὸς νοέῃ μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὁ δ' αὖ ἀχρήϊος ἀνήρ.
Hes. Op. 296.

831. Πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενά. Soph. El. 1054.

832. Ἡ δὲ μωρία
μάλιστ' ἀδελφὴ τῆς πονηρίας ἔφυ. Soph. fr. 839.

833. Δόξει τις ἀμαθεῖ σοφὰ λέγων οὐκ εὖ φρονεῖν.
Eur. Bacch. 480.

834. Τὸ τολμᾶν δ' ἀδύνατ' ἀνδρὸς οὐ σοφοῦ. Eur. Hel. 811.

835. Μῶρος παλαιὸς φρόνιμον οὐ ποιεῖ νέον. Unbekannt.

836. Γελᾷ ὁ μῶρος, κἂν τι μὴ γελοῖον ᾖ. Unbekannt.

LXXII. Tod, Tote.

837. Θανόντων δὲ καὶ φίλοι προδόται. Pind. fr. 160.

838. Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου·
φύντα δ' ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι
καὶ κεῖσθαι πολλὴν γῆν ἐπαμησάμενον.
Theognis 425.

839. Οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομέειν ἐπ' ἀνδράσιν.
Archilochus fr. 64.

840. Τοῦ μὲν θανόντος οὐκ ἂν ἐνθυμοίμεθα,
εἴ τι φρονοῖμεν, πλεῖον ἡμέρης μιᾶς.
Simonides Amorginus fr. 2.

841. Εὔθυμος ὢν ἔρεσσε τὴν ἐπ' Ἄϊδος
ἀταρπὸν ἕρπων· οὐ γάρ ἐστι δύσβατος
οὐδὲ σκαληνὸς οὐδ' ἐνίπλεος πλάνης,
ἰθεῖα δ' ἥ μάλιστα καὶ κατακλινὴς
ἅπασα, κἠκ μεμυκότων πορεύεται. Herodas?

842. Πάντα γὰρ μίαν ἱκνεῖται δασπλῆτα Χάρυβδιν,
αἱ μεγάλαι τ' ἀρεταὶ καὶ ὁ πλοῦτος. Simonides fr. 38.

843. Ἀνθρώπων ὀλίγον μὲν κάρτος, ἄπρακτοι δὲ μεληδόνες,
αἰῶνι δὲ παύρῳ πόνος ἀμφὶ πόνῳ·
ὁ δ' ἄφυκτος ὁμῶς ἐπικρέμαται θάνατος·
κείνου γὰρ ἴσον λάχον μέρος οἵ τ' ἀγαθοὶ
ὅστις τε κακός. Simonides fr. 39.

844. Ὁ δ' αὖ θάνατος κίχε καὶ τὸν φυγόμαχον.
Simonides fr. 65.

845. Κρεῖσσον γὰρ εἰσάπαξ θανεῖν
ἢ τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς. Aesch Prom. 750.

846. Ἀλλ' εὐκλεῶς τοι κατθανεῖν χάρις βροτῷ.
Aesch. Ag. 1303.

847. Μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ,
οὐδ' ἄν τι θύων οὐδ' ἐπισπένδων ἄνοις,
οὐδ' ἔστι βωμὸς οὐδὲ παιωνίζεται·
μόνου δὲ Πειθὼ δαιμόνων ἀποστατεῖ. Aesch. fr. 161.

848. Ὦ θάνατε παιάν, μή μ' ἀτιμάσῃς μολεῖν·
μόνος γὰρ εἶ σὺ τῶν ἀνηκέστων κακῶν
ἰατρός, ἄλγος δ' οὐδὲν ἅπτεται νεκροῦ. Aesch. fr. 255.

849. Ὡς οὐ δικαίως θάνατον ἔχθουσιν βροτοί,
ὅσπερ μέγιστον ῥῦμα τῶν πολλῶν κακῶν. Aesch. fr. 353.

850. Ἀλλ' οὔτε πολλὰ τραύματ' ἐν στέρνοις λαβὼν
θνήσκει τις, εἰ μὴ τέρμα συντρέχοι βίου,
οὔτ' ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ
φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον.
Aesch. fr. 362.

851. Τοῖς θανοῦσί τοι
φιλοῦσι πάντες κειμένοις ἐπεγγελᾶν. Soph. Aj. 988.

852. Ἄνθρωπε, μὴ δρᾶ τοὺς τεθνηκότας κακῶς·
εἰ γὰρ ποιήσεις, ἴσθι πημανούμενος. Soph. Aj. 1154.

853. Ἄνδρα δ' οὐ δίκαιον, εἰ θάνοι,
βλάπτειν τὸν ἐσθλόν, οὐδ' ἐὰν μισῶν κυρῇς.
Soph. Aj. 1344.

854. Θανόντων δ' οὐδὲν ἄλγος ἅπτεται. Soph. O. C. 955.

855. Ὅστις γὰρ ἐν πολλοῖσιν, ὡς ἐγώ, κακοῖς
ζῇ, πῶς ὃδ' οὐχὶ κατθανὼν κέρδος φέροι.
Soph. Ant. 463.

856. Ἀλλ' ἔσθ' ὁ θάνατος λῷστος ἰατρὸς κακών.
Soph. fr. 636.

857. Ὅστις δὲ θνητῶν θάνατον ὀρρωδεῖ λίαν,
μῶρος πέφυκε· τῇ τύχῃ μέλει τάδε·
ὅταν δ' ὁ καιρὸς τοῦ θανεῖν ἐλθὼν τύχῃ,
οὐδ' ἂν πρὸς αὐλὰς Ζηνὸς ἐκφύγοι μολών.
Soph. fr. 865.

858. Μάτην ἄρ' οἱ γέροντες εὔχονται θανεῖν,
γῆρας ψέγοντες καὶ μακρὸν χρόνον βίου·
ἦν δ' ἐγγὺς ἔλθῃ θάνατος, οὐδεὶς βούλεται
θνήσκειν, τὸ γῆρας δ' οὐκ ἔτ' ἔστ' αὐτοῖς βαρύ.
Eur. Alc. 669.

859. Βροτοῖς ἅπασι κατθανεῖν ὀφείλεται,
κοὐκ ἔστι θνητῶν ὅστις ἐξεπίσταται
τὴν αὔριον μέλλουσαν εἰ βιώσεται·
τὸ τῆς τύχης γὰρ ἀφανὲς οἱ προβήσεται,
κἄστ' οὐ διδακτὸν οὐδ' ἁλίσκεται τέχνῃ. Eur. Alc. 782.

860. Παῦσαι δὲ λύπης τῶν τεθνηκότων ὕπερ·
πᾶσιν γὰρ ἀνθρώποισιν ἥδε πρὸς θεῶν
ψῆφος κέκραναι κατθανεῖν τ' ὀφείλεται.
Eur. Andr. 1270.

861. Δρῶντας γὰρ ἢ μὴ δρῶντας ἥδιον θανεῖν. Eur. Hel. 814.

862. Εἰ γὰρ ἔξομεν
κἀκεῖ μερίμνας οἱ θανούμενοι βροτῶν,
οὐκ οἶδ' ὅποι τις τρέψεται· τὸ γὰρ θανεῖν
κακῶν μέγιστον φάρμακον νομίζεται. Eur. Her. 593.

863. Οὗτοι νομίζω σοφόν, ὃς ἂν μέλλων θανεῖν
οἴκτῳ τὸ δεῖμα τοὐλέθρου νικᾶν θέλῃ,
οὐδ' ὅστις Ἅιδην ἐγγὺς ὄντ' οἰκτίζεται,
σωτηρίας ἄνελπις· ὡς δύ' ἐξ ἑνὸς
κακὼ συνάπτει, μωρίαν τ' ὀφλισκάνει
θνήσκει θ' ὁμοίως· τὴν τύχην δ' ἐᾶν χρεών.
Eur. I. T. 484.

864. Κατθανεῖν δ' ὀφείλεται
καὶ τῷ κατ' οἴκους ἐκτὸς ἡμένῳ πόνων. Eur. fr. 10.

865. Ἔστι καὶ πταίσαντ' ἀρετὰν
ἀποδείξασθαι θανάτῳ. Eur. fr. 11.

866. Πάντων τὸ θανεῖν· τὸ δὲ κοινὸν ἄχος
μετρίως ἀλγεῖν σοφία μελετᾷ. Eur. fr. 46.

867. Τίς δ' οἶδεν, εἰ ζῆν τοῦθ' ὃ κέκληται θανεῖν,
τὸ ζῆν δὲ θνήσκειν ἐστί; πλὴν ὅμως βροτῶν
νοσοῦσιν οἱ βλέποντες, οἱ δ' ὀλωλότες
οὐδὲν νοσοῦσιν οὐδὲ κέκτηνται κακά. Eur. fr. 833.

868. Οὐκ ἔστι βίος ὃς οὐχὶ κέκτηται κακά,
λύπας, μερίμνας, ἁρπαγάς, στρέβλας, νόσους·
τούτων δ' ὁ θάνατος καθάπερ ἰατρὸς φανεὶς
ἀπέλυσε τοὺς ἔχοντας ἀναπαύσας ὕπνῳ. Diphilus fr. 88.

869. Ὃν οἱ θεοὶ φιλοῦσιν, ἀποθνήσκει νέος. Menander fr. 125.

870. Κἂν μυρίων γῆς κυριεύῃς πήχεων,
θανὼν γενήσει τάχα τριῶν ἢ τεττάρων.
Menander fr. 1099.

871. Ὧν τοῖς θεοῖς ἄνθρωπος εὔχεται τυχεῖν,
τῆς εὐθανασίας κρεῖττον οὐδὲν εὔχεται. Posidippus fr. 18.

872. Ποῦ γὰρ τὰ σεμνὰ κεῖνα; ποῦ δὲ Λυδίης
μέγας δυνάστης Κροῖσος ἢ Ξέρξης βαρὺν
ζεύξας θαλάσσης αὐχέν' Ἑλλησποντίας;
ἅπαντες ἀΐδαν ἦλθον καὶ λάθας δόμους. Unbekannt.

873. Εἰς ἀΐδην ἰθεῖα κατήλυσις, εἴτ' ἀπ' Ἀθηνῶν
στείχοις, εἴτε νέκυς νίσεαι ἐκ Μερόης.
μή σέ γ' ἀνιάτω πάτρης ἀποτῆλε θανόντα·
παντόθεν εἰς ὁ φέρων εἰς ἀΐδην ἄνεμος.
Anth. Pal. 10,3.

874. Τὸν θάνατον τί φοβεῖσθε, τὸν ἡσυχίης γενετῆρα,
τὸν παύοντα νόσους καὶ πενίης ὀδύνας;
μοῦνον ἅπαξ θνητοῖς παραγίνεται οὐδέ ποτ' αὐτὸν
εἶδέν τις θνητῶν δεύτερον ἐρχόμενον·
αἱ δὲ νόσοι πολλαὶ καὶ ποικίλαι, ἄλλοτ' ἐπ' ἄλλον
ἐρχόμεναι θνητῶν καὶ μεταβαλλόμεναι.
Anth. Pal. 10,69.

875. Πάντες τῷ θανάτῳ τηρούμεθα καὶ τρεφόμεσθα
ὡς ἀγέλη χοίρων σφαζομένων ἀλόγως.
Anth. Pal. 10,85.

LXXIII. Umgang.

876. Σὺ δὲ μεγαλήτορα θυμὸν
ἴσχειν ἐν στήθεσσι· φιλοφροσύνη γὰρ ἀμείνων.
Hom. Il. 9,255.

877. Πῆμα κακὸς γείτων ὅσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ·
ἔμμορέ τοι τιμῆς ὅστ' ἔμμορε γείτονος ἐσθλοῦ,
οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη.
Hes. Op. 346.

878. Ἐσθλῶν μὲν γὰρ ἄπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσι
συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.
Theognis 35.

879. Ἐν παντὶ πράγει δ' ἔσθ' ὁμιλίας κακῆς
κάκιον οὐδέν, καρπὸς ἧς ἀσύμφορος. Aesch. Spt. 599.

880. Ἡ δ' ὁμιλία
πάντων βροτοῖσι γίγνεται διδάσκαλος. Eur. Andr. 683.

881. Κρεῖσσον δὲ πλούτου καὶ βαθυσπόρου χθονὸς
ἀνδρῶν δικαίων κἀγαθῶν ὁμιλίαι. Eur. fr. 7.

882. Ἀνὴρ δὲ χρηστὸς χρηστὸν οὐ μισεῖ ποτε,
κακὸς κακῷ δὲ συντέτηκεν ἡδονῇ·
φιλεῖ δὲ θούμόφυλον ἀνθρώπους ἄγειν. Eur. fr. 296.

883. Ὁμιλίας δὲ τὰς γεραιτέρων φίλει,
ἀκόλαστα δ' ἤθη λαμπρὰ συγγελᾶν μόνον
μίσει· βραχεῖα τέρψις ἡδονῆς κακῆς. Eur. fr. 362.

884. Φθείρουσιν ἤθη χρήσθ' ὁμιλίαι κακαί. Menander fr. 218.

885. Ὡς ἀεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον.
Menander fr. 443.

886. Πέτρας γεωργεῖν ἐστι συμφορώτερον
ἢ πεδία χαλεποὺς γείτονας κεκτημένους.
Fr. com. ad. 380.

LXXIV. Unglück, Leiden.

887. Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσιν.
Hom. Od. 19,360.

888. Ἀλλοτρίοισι μὴ προφαίνειν, τις φέρεται
μόχθος ἄμμιν· τοῦτό γέ τοι ἐρέω,
καλῶν μὲν ὧν μοῖράν τε τερπνῶν ἐς μέσον χρὴ παντὶ λαῷ
δεικνύναι· εἰ δέ τις ἀνθρώποισι θεόσδοτος ἄτα
προστύχῃ, ταύταν σκότει κρύπτειν ἔοικεν. Pind. fr. 42.

889. Ὡς οἰκίην οὐκ ἔστιν εὐμαρέως εὑρεῖν
ἄνευ κακῶν ζώουσαν· ὃς δ' ἔχει μεῖον,
τοῦτόν τι μεῖζον τοὐτέρου δόκει πρήσσειν. Herodas fr. 5.

890. Πάντεσσι θνατοῖσι δαίμων ἐπέταξε πόνους ἄλλοισιν ἄλλους.
Bacchylides fr. 21.

891. Τίς δὲ πλὴν θεῶν
ἅπαντ' ἀπήμων τὸν δι' αἰῶνος χρόνον; Aesch. Ag. 553.

892. Οὔτις μερόπων ἀσινῆ βίοτον
διὰ παντὸς ἄτιμος ἀμείψεται
ἐή,
μόχθος δ' ὁ μὲν αὐτίχ', ὁ δ' ὕξει. Aesch. Choeph. 1018.

893. Φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος. Soph. Aj. 264.

894. Ἀνθρώποισι τὰς μὲν ἐκ θεῶν
τύχας δοθείσας ἔστ' ἀναγκαῖον φέρειν·
ὅσοι δ' ἑκουσίοισιν ἔγκεινται βλάβαις,
ὥσπερ σύ, τούτοις οὔτε συγγνώμην ἔχειν
δίκαιόν ἐστιν οὔτ' ἐποικτείρειν τινά. Soph. Phil. 1316.

895. Οὐ γὰρ θέμις ζῆν πλὴν θεοῖς ἄνευ κακῶν.
Soph fr. 860.

896. Σοφόν τοι κἀν κακοῖς ἃ δεῖ φρονεῖν. Eur. Hec 228.

897. Ἐν κακοῖσι δὲ
οὐ ῥᾴδιον βροτοῖσιν εὐφημεῖν στόμα. Eur. Hec. 663.

898. Ὅταν δ' ἀνὴρ
πράξῃ κακῶς ὑψηλός, εἰς ἀηθίαν
πίπτει κακίω τοῦ πάλαι δυσδαίμονος. Eur. Hel. 417.

899. Ἐκμαρτυρεῖν γὰρ ἄνδρα τὰς αὑτοῦ τύχας
εἰς πάντας ἀμαθές, τὸ δ' ἐπικρύπτεσθαι σοφόν.
Eur. fr. 553.

900. Σοφοὶ δὲ συγκρύπτουσιν οἰκείας βλάβας. Eur. fr. 683.

901. Τὰ πλεῖστα θνητοῖς τῶν κακῶν αὐθαίρετα. Eur. fr. 1026.

902. Τοῖς γὰρ κακοῖς
τοὺς μὴ μαχομένους ῥᾷστα χρωμένους ὁρῶ.
Alexis fr. 217.

903. Ὡς δεινὸν ἡνίκ' ἄν τις ὢν ἐν φροντίσιν
εἰκῇ θεατὴν τὸν τυχόντα λαμβάνῃ. Diphilus fr. 108.

904. Οὐδὲν πέπονθας δεινόν, ἂν μὴ προσποιῇ.
Menander fr. 179.

905. Εὔπιστον ἀτυχῶν ἐστιν ἄνθρωπος φύσει·
τὸν πλησίον γὰρ οἴεται μᾶλλον φρονεῖν
ὁ τοῖς λογισμοῖς τοῖς ἰδίοις πταίων ἀεί. Menander fr. 380.

906. Ἀτύχημα κἀδίκημα διαφορὰν ἔχει·
τὸ μὲν διὰ τύχην γίνεται, τὸ δ' αἱρέσει. Menander fr. 426.

LXXV. Vaterland, Heimat.

907. Εἷς οἰωνὸς ἄριστος, ἀμύνεσθαι περὶ πάτρης.
Hom. Il. 12,243.

908. Οὔ τοι ἐγώ γε
ἧς γαίης δύναμαι γλυκερώτερον ἄλλο ἰδέσθαι.
Hom. Od. 9,27.

909. Ἔστι δὲ φῦλον ἐν ἀνθρώποισι ματαιότατον,
ὅστις αἰσχύνων ἐπιχώρια παπταίνει τὰ πόρσω,
μεταμώνια θηρεύων ἀκράντοις ἐλπίσιν. Pind. Pyth. 3,21.

910. Καὶ μείζον' ὅστις ἀντὶ τῆς αὑτοῦ πάτρας
φίλον νομίζει, τοῦτον οὐδαμοῦ λέγω. Soph. Ant 182.

911. Ἀλλ' ἀναγκαίως ἔχει
πατρίδος ἐρᾶν ἅπαντας· ὃς δ' ἄλλως λέγει,
λόγοισι χαίρει, τὸν δὲ νοῦν ἐκεῖσ' ἔχει. Eur. Phoen 358.

912. Ἡ πατρίς, ὡς ἔοικε, φίλτατον βροτοῖς
οὐδ' ὀνομάσαι δύναι' ἂν ὡς ἔστιν φίλον. Eur. Phoen. 406.

913. Ἀλλ' ὅμως
οἰκτρός τις αἰὼν πατρίδος ἐκλιπεῖν ὄρους. Eur. fr 30.

914. Πατρὶς γάρ ἐστι πᾶσ', ἵν' ἂν πράττῃ τις εὖ.
Ar. Plut 1151.

LXXVI. Vernunft, Verstand.

915. Οὗτος μὲν πανάριστος, ὃς αὑτῷ πάντα νοήσῃ,
φρασσάμενος τά κ' ἔπειτα καὶ ἐς τέλος ἤσιν ἀμείνω·
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται.
Hes. Op 293.

916. Πολλοί τοι δοκέουσιν σαόφρονες ἔμμεναι ἄνδρες,
σὺν κόσμῳ στείχοντες, ἐλαφρόνοοί περ ἐόντες.
Phokylides fr. 9.

917. Οὐ γὰρ οἱ πλατεῖς
οὐδ' εὐρύνωτοι φῶτες ἀσφαλέστατοι,
ἀλλ' οἱ φρονοῦντες εὖ κρατοῦσι πανταχοῦ·
μέγας δὲ πλευρὰ βοῦς ὑπὸ σμικρᾶς ὅμως
μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται. Soph. Aj. 1250.

918. Ἀλλ' ἡ φρόνησις ἀγαθὴ θεὸς μέγας. Soph. fr. 836.

919. Γνῶμαι πλέον κρατοῦσιν ἢ σθένος χερῶν. Soph. fr. 853.

920. Ὦ πόλλ' ἁμαρτάνοντες ἄνθρωποι μάτην,
τί δῆτα τέχνας μὲν μυρίας διδάσκετε
καὶ πάντα μηχανᾶσθε κἀξευρίσκετε,
ἓν δ' οὐκ ἐπίστασθ' οὐδ' ἐθηράσασθέ πω,
φρονεῖν διδάσκειν οἷσιν οὐκ ἔνεστι νοῦς; Eur. Hipp. 916.

921. Γνώμαις γὰρ ἀνδρὸς εὖ μὲν οἰκοῦνται πόλεις,
εὖ δ' οἶκος, εἴς τ' αὖ πόλεμον ἰσχύει μέγα·
σοφὸν γὰρ ἓν βούλευμα τὰς πολλὰς χέρας
νικᾷ, σὺν ὄχλῳ δ' ἀμαθία πλεῖστον κακόν. Eur. fr. 200.

922. Οὐ πανταχοῦ τὸ φρόνιμον ἁρμόττει παρόν,
καὶ συμμανῆναι δ' ἔνια δεῖ. Menander fr. 421.

LXXVII. Verschwiegenheit, Schweigsamkeit.

923. Γλώσσης μάλιστα πανταχοῦ πειρῶ κρατεῖν·
ὃ καὶ γέροντι καὶ νέῳ τιμὴν φέρει,
ἡ γλῶσσα σιγὴν καιρίαν κεκτημένη. Crates?

924. Ἔστι καὶ σιγῆς ἀκίνδυνον γέρας. Simonides fr. 66.

925. Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει. Soph. Aj. 293.

926. Ὦ παῖ, σιώπα· πόλλ' ἔχει σιγὴ καλά. Soph. fr. 78.

927. Γυνὴ γὰρ ὀξύθυμος, ὡς δ' αὔτως ἀνήρ,
ῥᾴων φυλάσσειν ἢ σιωπηλὸς σοφός. Eur. Med. 390.

928. Ἔστι δ' οὗ σιγὴ λόγου
κρείσσων γένοιτ' ἄν, ἔστι δ' οὗ σιγῆς λόγος.
Eur. Or. 638.

929. Κόσμος δὲ σιγὴ στεγανὸς ἀνδρὸς οὐ κακοῦ·
τὸ δ' ἐκλαλοῦν τοῦθ' ἡδονῆς μὲν ἅπτεται,
κακὸν δ' ὁμίλημ', ἀσθενὲς δὲ καὶ πόλει. Eur. fr. 219.

930. Μυστήριόν σου μὴ κατείπῃς τῷ φίλῳ·
κοὐ μὴ φοβηθῇς αὐτὸν ἐχθρὸν γενόμενον.
Menander fr. 695.

LXXVIII. Vervollkommnung, Streben.

931. Αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων.
Hom. Il. 6,208.

932. Εἰς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων
πλούσιος, ὃς σπεύδει μὲν ἀρόμμεναι ἠδὲ φυτεύειν,
οἶκον τ' εὖ θέσθαι· ζηλοῖ δέ τε γείτονα γείτων
εἰς ἄφενον σπεύδοντ'· ἀγαθὴ δ' ἔρις ἥδε βροτοῖσι.
Hes. Op. 21.

933. Φημὶ πολυχρονίην μελέτην ἔμεναι, φίλε, καὶ δὴ
ταύτην ἀνθρώποισι τελευτῶσαν φύσιν εἶναι. Euenus fr. 9.

934. Ἐκ μελέτης πλείους ἢ φύσεως ἀγαθοί. Kritias fr. 6.

935. Ὁ δ' εἰς τὸ σῶφρον ἐπ' ἀρετήν τ' ἄγων ἔρως
ζηλωτὸς ἀνθρώποισιν· ὢν εἴην ἐγώ. Eur. fr. 672.

936. Τόλμα τι, κινδύνευε, πρᾶττ', ἀποτύγχανε,
ἐπίτυχε· πάντα μᾶλλον ἢ σαυτὸν προοῦ.
Fr. com ad. 357.

LXXIX. Wahrheit, Wahrhaftigkeit.

937. Εἰ δὲ νόῳ τις ἔχει θνατῶν ἀλαθείας ὁδόν, χρὴ πρὸς μακάρων
τυγχάνοντ' εὖ πασχέμεν. Pind. Pyth. 3,103.

938. Τὸ δοκεῖν καὶ τὰν ἀλάθειαν βιᾶται. Simonides fr. 76.

939. Λυδία μὲν γὰρ λίθος μανύει χρυσόν,
ἀνδρῶν δ' ἀρετὰν σοφίαν τε παγκρατὴς ἐλέγχει ἀλάθεια.
Bacchylides fr. 22.

940. Ἁπλᾶ γάρ ἐστι τῆς ἀληθείας ἔπη. Aesch. fr. 176.

941. Ὀρθὸν ἀλήθει' ἀεί. Soph. Ant. 1195.

942. Τἀληθὲς ἀεὶ πλεῖστον ἰσχύει λόγου. Soph. fr. 869.

943. Κλεπτῶν γὰρ ἡ νύξ, τῆς δ' ἀληθείας τὸ φῶς.
Eur. I. T. 1026.

944. Ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ,
κοὐ ποικίλων δεῖ τἀνδιχ' ἑρμηνευμάτων·
ἔχει γὰρ αὐτὰ καιρόν· ὁ δ' ἄδικος λόγος
νοσῶν ἐν αὑτῷ φαρμάκων δεῖται σοφῶν.
Eur. Phoen. 469.

945. Πένης λέγων τἀληθὲς οὐ πιστεύεται. Menander fr. 856.

LXXX. Wechsel, Unbeständigkeit.

946. Ὅν κε θεὸς τιμᾷ, τάχα οἱ μέγα πῆμα κυλίσθη.
Hom. Il. 17,99.

947. Θεῶν δ' ὑποδείσατε μῆνιν,
μή τι μεταστρέψωσιν, ἀγασσάμενοι κακὰ ἔργα.
Hom. Od. 2,67.

948. Ἤτοι βροτῶν γε κέκριται
πεῖρας οὔ τι θανάτου,
οὐδ' ἀσύχιμον ἁμέραν ὁπότε παῖδ' ἀελίου
ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν· ῥοαὶ δ' ἄλλοτ' ἄλλαι
εὐθυμιᾶν τε μετὰ καὶ πόνων ἐς ἄνδρας ἔβαν.
Pind. Ol. 2,30.

949. Ἐν δὲ μιᾷ μοίρᾳ χρόνου
ἄλλοτ' ἀλλοῖαι διαθύσσοισιν αὖραι. Pind. Ol. 7,94.

950. Χρὴ δὲ πρὸς θεὸν οὐκ ἐρίζειν,
ὃς ἀνέχει τοτὲ μὲν τὰ κείνων, τότ' αὖθ' ἑτέροις ἔδωκεν
μέγα κῦδος. Pind. Pyth. 2,88.

951. Ἄλλοτε δ' ἀλλοῖος οὖρος
πάντας ἀνθρώπους ἐπαΐσσων ἐλαύνει. Pind. Isthm. 4,5.

952. Ὁπόταν θεὸς ἀνδρὶ χάρμα πέμψῃ,
πάρος μέλαιναν κραδίαν ἐστυφέλιξεν. Pind. fr. 225.

953. Ἄνθρωπος ἐὼν μή ποτε φάσῃς, ὅτι γίνεται αὔριον,
μηδ' ἄνδρα ἰδὼν ὄλβιον, ὅσσον χρόνον ἔσσεται·
ὠκεῖα γάρ, οὐδὲ τανυπτερύγου μυίας
οὐ τόσα μετάστασις. Simonides fr. 32.

954. Οὐκ ἔστιν κακὸν
ἀνεπιδόκητον ἀνθρώποις, ὀλίγῳ δὲ χρόνῳ
πάντα μεταρρίπτει θεός. Simonides fr. 62.

955. Θνατοῖσι μὴ φῦναι φέριστον
μηδ' ἀελίου προσιδεῖν φέγγος·
ὄλβιος δ' οὐδεὶς βροτῶν πάντα χρόνον. Bacchylides fr. 2.

956. Φίλοι, κακῶν μὲν ὅστις ἔμπειρος κυρεῖ,
ἐπίσταται βροτοῖσιν ὡς, ὅταν κλύδων
κακῶν ἐπέλθῃ, πάντα δειμαίνειν φιλεῖ·
ὅταν δ' ὁ δαίμων εὐροῇ, πεποιθέναι
τὸν αὐτὸν ἀεὶ δαίμον' οὐριεῖν τύχης. Aesch. Pers. 598.

957. Αἰόλ' ἀνθρώπων κακά,
πόνου δ' ἴδοις ἂν οὐδαμοῦ ταὐτὸν πτερόν.
Aesch. Suppl. 327.

958. Ἰὼ βρότεια πράγματ' εὐτυχοῦντα μὲν
σκιά τις ἂν τρέψειεν· εἰ δὲ δυστυχοῖ,
βολαῖς ὑγρώσσων σπόγγος ὤλεσεν γραφήν.
καὶ ταῦτ' ἐκείνων μᾶλλον οἰκτείρω πολύ.
Aesch. Ag. 1327.

959. Οὐκ ἔσθ' ὁποῖον στάντ' ἂν ἀνθρώπων βίον
οὔτ' αἰνέσαιμ' ἂν οὔτε μεμψαίμην ποτέ.
τύχη γὰρ ὀρθοῖ καὶ τύχη καταρρέπει
τὸν εὐτυχοῦντα τόν τε δυστυχοῦντ' ἀεί·
καὶ μάντις οὐδεὶς τῶν καθεστώτων βροτοῖς.
Soph. Ant. 1156.

960. Τοιαῦτα τἀνθάδ' ἐστίν· ὥστ' εἴ τις δύο
ἢ πλείονας ζῇν ἡμέρας λογίζεται,
μάταιός ἐστιν· οὐ γὰρ ἔσθ' ἥ γ' αὔριον,
πρὶν ἂν πάθῃ τις τὴν παροῦσαν ἡμέραν. Soph. Tr. 943.

961. Ὡς πάντα δεινὰ κἀπικινδύνως βροτοῖς
κεῖται, παθεῖν μὲν εὖ, παθεῖν δὲ θἀτέρα·
χρὴ δ' ἐκτὸς ὄντα πημάτων τὰ δεῖν' ὁρᾶν,
χὥταν τις εὖ ζῇ, τηνικαῦτα τὸν βίον
σκοπεῖν μάλιστα, μὴ διαφθαρεὶς λάθῃ. Soph Phil. 502.

962. Οὐ χρή ποτ' εὖ πράσσοντος ὀλβίσαι τύχας
ἀνδρός, πρὶν αὐτῷ παντελῶς ἤδη βίος
διεκπεραθῇ καὶ τελευτήσῃ βίον.
ἐν γὰρ βραχεῖ καθεῖλε κὠλίγῳ χρόνῳ
πάμπλουτον ὄλβον δαίμονος κακοῦ δόσις,
ὅταν μεταστῇ καὶ θεοῖς δοκῇ τόδε. Soph. fr. 588.

963. Οὐκ ἔστιν οὐδὲν πιστόν, οὔτ' εὐδοξία,
οὔτ' αὖ καλῶς πράσσοντα μὴ πράξειν κακῶς,
φύρουσι δ' αὐτὰ θεοὶ πάλιν τε καὶ πρόσω
ταραγμὸν ἐντιθέντες, ὡς ἀγνωσίᾳ
σέβωμεν αὐτούς. Eur. Hec. 956.

964. Ὦ θύγατερ, ὁ θεὸς ὡς ἔφυ τι ποικίλον
καὶ δυστέκμαρτον· εὖ δέ πως ἀναστρέφει
ἐκεῖσε κακεῖσ' ἀναφέρων· ὁ μὲν πονεῖ,
ὁ δ' οὐ πονήσας αὖθις ὄλλυται κακῶς,
βέβαιον οὐδὲν τῆς ἀεὶ τύχης ἔχων. Eur. Hel. 711.

965. Κεκλημένῳ δὲ φωτὶ μακαρίῳ ποτὲ
αἱ μεταβολαὶ λυπηρόν· ᾧ δ' ἀεὶ κακῶς
ἔστ', οὐδὲν ἀλγεῖ συγγενῶς δύστηνος ὤν.
Eur. H. f. 1292.

966. Ἔχει γὰρ καταφυγὴν θὴρ μὲν πέτραν,
δοῦλος δὲ βωμοὺς θεῶν, πόλις δὲ πρὸς πόλιν
ἔπτηξε χειμασθεῖσα· τῶν γὰρ ἐν βροτοῖς
οὐκ ἔστιν οὐδὲν διὰ τέλους εὐδαιμονοῦν. Eur. Suppl. 267.

967. Ἀπροσδόκητα δὲ βροτοῖσι τὰ τῶν θεῶν,
σώζουσι θ' οὓς φιλοῦσιν. Eur. I. A. 1610.

968. Τὰ θνητὰ τοιαῦτ'· οὐδὲν ἐν ταὐτῷ μένει. Eur. Ion 969.

969. Μεταβολὴ πάντων γλυκύ. Eur. Or. 234.

970. Ὁ μέγος ὄλβος οὐ μόνιμος ἐν βροτοῖς·
ἀνὰ δὲ λαῖφος ὥς
τις ἀκάτου θοᾶς τινάξας δαίμων
κατέκλυσεν δεινῶν πόνων, ὡς πόντου
λάβροις ὀλεθρίοισιν ἐν κύμασιν. Eur. Or. 340.

971. Ὅρα τὸ μέλλον· πόλλ' ἀναστρέφει θεός. Eur. Rhes. 332.

972. Θνητῶν δὲ μῶρος ὅστις εὖ πράσσειν δοκῶν
βέβαια χαίρει· τοῖς τρόποις γὰρ αἱ τύχαι
ἔμπληκτος ὡς ἄνθρωπος, ἄλλοτ' ἄλλοσε
πηδῶσι, κοὐδεὶς αὐτὸς εὐτυχεῖ ποτε. Eur. Tr. 1203.

973. Αἰεὶ τὸ μὲν ζῇ, τὸ δὲ μεθίσταται κακόν,
τὸ δ' αὖ πέφηνεν αὖθις ἐξ ἀρχῆς νέον. Eur. fr. 35.

974. Ἀλλ' ἡμέρα τοι πολλὰ καὶ μέλαινα νὺξ
τίκτει βροτοῖσιν. Eur. fr. 101.

975. Ἅπαντα τίκτει χθὼν πάλιν τε λαμβάνει. Eur. fr. 195.

976. Πάλαι σκοποῦμαι τὰς τύχας τὰς τῶν βροτῶν
ὡς εὖ μεταλλάσσουσιν· ὃς γὰρ ἂν σφαλῇ,
εἰς ὀρθὸν ἔστη, χὠ πρὶν εὐτυχῶν πίτνει. Eur. fr. 262.

977. Πᾶσιν γὰρ ἀνθρώποισιν, οὐχ ἡμῖν μόνον,
ἦ καὶ παραυτίκ' ἦ χρόνῳ δαίμων βίον
ἔσφηλε, κοὐδεὶς διὰ τέλους εὐδαιμονεῖ. Eur. fr. 273.

978. Ὁρᾷς τυράννους διὰ μακρῶν ηὐξημένους,
ὡς μικρὰ τὰ σφάλλοντα, καὶ μί' ἡμέρα
τὰ μὲν καθεῖλεν ὑψόθεν, τὰ δ' ἦρ' ἄνω.
ὑπόπτερος δ' ὁ πλοῦτος· οἷς γὰρ ἦν ποτε,
ἐξ ἐλπίδων πίπτοντας ὑπτίους ὁρῶ. Eur. fr. 420.

979. Ἀλλ' ἦμαρ ἔν τοι μεταβολὰς πολλὰς ἔχει. Eur. fr. 549.

980. Ἐὰν δ' ἴδῃς πρὸς ὕψος ἠρμένον τινὰ
λαμπρῷ τε πλούτῳ καὶ γένει γαυρούμενον,
ὀφρύν τε μείζω τῆς τύχης ἐπηρκότα,
τούτου ταχεῖαν νέμεσιν εὐθὺς ἐκδέχου. Eur. fr. 1040.

981. Καὶ τοῦτο τοὔπος ἐστὶν ἀνδρὸς ἔμφρονος,
ὅταν καλῶς πράσσῃ τις, ἐλπίζειν κακά. Fr. tr. ad. 460.

982. Τὰ προσπεσόντα προσδοκᾶν ἅπαντα δεῖ
ἄνθρωπον ὄντα· παραμένει γὰρ οὐδὲ ἕν. Menander fr. 51.

983. Θαρσεῖν χρή, φίλε Βάττε· τάχ' αὔριον ἔσσετ' ἄμεινον.
ἐλπίδες ἐν ζωοῖσιν, ἀνέλπιστοι δὲ θανόντες.
χὼ Ζεὺς ἄλλοκα μὲν πέλει αἴθριος, ἄλλοκα δ' ὖει.
Theokr. 4,41.

984. Μὴ σύγε θνητὸς ἐὼν ὡς ἀθάνατός τι λογίζου·
οὐδὲν γὰρ βιότου πιστὸν ἐφημερίοις.
Anth. Pal. 7,327.

985. Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου.
Anth. Pal. 10,32.

986. Πολλὰ τὸ δαιμόνιον δύναται, κἂν ᾖ παράδοξα·
τοὺς μικροὺς ἀνάγει, τοὺς μεγάλους κατάγει·
καὶ σοῦ τὴν ὀφρὺν καὶ τὸν τῦφον καταπαύσει,
κἂν ποταμὸς χρυσοῦ νάματά σοι παρέχῃ.
οὐ θρύον, οὐ μαλάχην ἄνεμός ποτε, τὰς δὲ μεγίστας
ἢ δρύας ἢ πλατάνους οἶδε χαμαὶ κατάγειν.
Anth. Pal. 10,122.

LXXXI. Weib.

987. Ὅς δὲ γυναικὶ πέποιθε, πέποιθ' ὅγε φηλήτῃσιν.
Hes Op. 375.

988. Μὴ δὴ κόρῃ τὸ τὴν χολὴν ἐπὶ ῥινὸς
ἔχ' εὐθύς, ἤν τι ῥῆμα μὴ σοφὸν πεύθῃ.
γυναικός ἐστι κρηγύης φέρειν πάντα. Herodas fr. 4.

989. Γυνὴ μονωθεῖσ' οὐδέν· οὐκ ἔνεστ' Ἄρης.
Aesch. Suppl. 749.

990. Ἡ κάρτα πρὸς γυναικὸς αἵρεσθαι κέαρ. Aesch Ag. 592.

991. Οὗτοι γυναικός ἐστιν ἱμείρειν μάχης. Aesch. Ag. 940.

992. Γυναιξὶ τέρψις τῶν παρεστώτων κακῶν
ἀνὰ στόμ' ἀεὶ καὶ διὰ γλώσσης ἔχειν. Eur. Andr. 94.

993. Δεινὸν δ' ἑρπετῶν μὲν ἀγρίων
ἄκη βροτοῖσι θεῶν καταστῆσαί τινα·
ἃ δ' ἔστ' ἐχίδνης καὶ πυρὸς περαιτέρω,
οὐδεὶς γυναικὸς φάρμακ' ἐξεύρηκέ πω
κακῆς· τοσοῦτόν ἐσμεν ἀνθρώποις κακόν. Eur. Andr. 269.

994. Τὰ μὲν γὰρ ἄλλα δεύτερ' ἂν πάσχῃ γυνή·
ἀνδρὸς δ' ἁμαρτάνουσ' ἁμαρτάνει βίου. Eur. Andr. 372.

995. Γυνὴ δ' ἀπόντος ἀνδρὸς ἥτις ἐκ δόμων
εἰς κάλλος ἀσκεῖ, διάγραφ' ὡς οὖσαν κακήν.
Eur. El. 1072.

996. Δειναὶ γὰρ αἱ γυναῖκες εὑρίσκειν τέχνας. Eur. I. T. 1032.

997. Γυνὴ γὰρ τἄλλα μὲν φόβου πλέα
κακὴ δ' ἐς ἀλκὴν καὶ σίδηρον εἰς ορᾶν·
ὅταν δ' εἰς εὐνὴν ἀδικημένη κυρῇ,
οὐκ ἔστιν ἄλλη φρὴν μιαφονωτέρα. Eur. Med. 263.

998. Πρὸς δὲ καὶ πεφύκαμεν
γυναῖκες εἰς μὲν ἔσθλ' ἀμηχανώταται,
κακῶν δὲ πάντων τέκτονες σοφώταται Eur. Med. 406.

999. Γυνὴ δὲ θῆλυ κἀπὶ δακρύοις ἔφυ. Eur. Med. 928.

1000. Ἀεὶ γυναῖκες ἐμποδὼν ταῖς συμφοραῖς
ἔφυσαν ἀνδρῶν πρὸς τὸ δυστυχέστερον. Eur. Or. 605.

1001. Φιλόψογον δὲ χρῆμα θηλειῶν ἔφυ,
σμικράς τ' ἀφορμὰς ἢν λάβωσι τῶν λόγων,
πλείους ἐπεισφέρουσιν· ἡδονὴ δέ τις
γυναιξὶ μηδὲν ὑγιὲς ἀλλήλαις λέγειν. Eur. Phoen. 198.

1002. Δεινὸν γυναιξὶν αἱ δι' ὠδίνων γοναί,
καὶ φιλότεκνον πῶς πᾶν γυναικεῖον γένος.
Eur. Phoen. 355.

1003. Γυναῖκές ἐσμεν· τὰ μὲν ὄκνῳ νικώμεθα,
τὰ δ' οὐκ ἂν ἡμῶν θράσος ὑπερβάλλοιτό τις.
Eur. fr. 276.

1004. Ἐὰν γυνὴ γυναικὶ κατ' ἰδίαν συνῇ,
μεγάλων κακῶν θησαυρὸς ἐξορύσσεται. Philemon fr. 169.

1005. Σαπρὰν γυναῖκα δ' ὁ τρόπος εὔμορφον ποιεῖ·
πολὺ γὰρ διαφέρει σεμνότης εὐμορφίας.
Philemon fr. 170.

1006. Ἀθάνατόν ἐστι κακὸν ἀναγκαῖον γυνή. Philemon fr. 196.

1007. Ταμιεῖον ἀρετῆς ἐστιν ἡ σώφρων γυνή.
Menander fr. 1109.

1008. Ἐν γὰρ γυναιξὶ πίστιν οὐκ ἔνεστ' ἰδεῖν. Men. mon. 161.

1009. Ὅταν παθεῖν λέγῃ σε καὶ στέργειν γυνή,
φροῦ παρ' αὐτῆς πλεῖον' ὧν λέγει κακά.
Sosikrates fr. 4.

1010. Πᾶσα γυνὴ χόλος ἐστίν· ἔχει δ' ἀγαθὰς δύο ὥρας,
τὴν μίαν ἐν θαλάμῳ, τὴν μίαν ἐν θανάτῳ.
Anth Pal 11,381.

LXXXII. Weisheit.

1011. Αἱ δὲ φρενῶν ταραχαὶ
παρέπλαγξαν καὶ σοφόν. Pindar Ol. 7,30.

1012. Ἡγοῦμαι σοφίας· εἶναι μέρος οὐκ ἐλάχιστον
ὀρθῶς γιγνώσκειν, οἷος ἕκαστος ἀνήρ. Euenus fr. 3.

1013. Ἁμαρτάνει τι καὶ σοφοῦ σοφώτερος. Aesch. fr. 391.

1014. Πείθου· προνοίας οὐδὲν ἀνθρώποις ἔφυ
κέρδος λαβεῖν ἄμεινον οὐδὲ νοῦ σοφοῦ. Soph. El 1015.

1015. Φιλεῖν μὲν οὖν χρὴ τοὺς σοφοὺς πρῶτον τέκνα,
ἔπειτα τοκέας, πατρίδα θ', ἣν αὔξειν χρεὼν
καὶ μὴ κατᾶξαι· σφαλερὸν ἡγεμὼν θρασὺς
νεώς τε ναύτης· ἥσυχος καιρῷ σοφός.
καὶ τοῦτό τοι τἀνδρεῖον, ἡ προμηθία. Eur. Suppl. 506.

1016. Ὅστις λέγει μὲν εὖ, τὰ δ' ἔργ' ἐφ' οἷς λέγει
αἴσχρ' ἐστί, τούτου τὸ σοφὸν οὐκ αἰνῶ ποτέ.
Eur. fr. 583.

1017. Οὐδεὶς ἐπὶ σμικροῖσι λυπεῖται σοφός. Chaeremon fr. 37.

1018. Πότνι' ὦ σοφία, σύ μοι ἄνδανε·
ὄλβου δ' ἐμοῦ μὴ χρυσέου φαεννὰν
ἀκτῖνα δαίμων διδοίη
πάρος σοφίας ἢ τυραννίδα·
Διὸς ἀπωτάτω
κεῖται καλὸς θησαυρὸς ὅτῳ προσέβα. Fr. tr. ad. 130.

LXXXIII. Zeit.

1019. Ἀνδρῶν δικαίων χρόνος σωτὴρ ἄριστος. Pind fr. 159.

1020. Οὐκ ἔστιν μείζων βάσανος χρόνου οὐδενὸς ἔργου,
ὃς καὶ ὑπὸ στέρνοις ἀνδρὸς ἔδειξε νόον.
Simonides fr. 175.

1021. Ὅ τοι χρόνος ὀξὺς ὀδόντας
πάντα καταψήχει καὶ τὰ βιαιότατα. Simonides fr. 176.

1022. Ἀλλ' ἐκδιδάσκει πάνθ' ὁ γηράσκων χρόνος.
Aesch Prom. 991.

1023. Ἅπανθ' ὁ μακρὸς καναρίθμητος χρόνος
φύει τ' ἄδηλα καὶ φανέντα κρύπτεται·
κοὐκ ἔστ' ἄελπτον οὐδέν, ἀλλ' ἁλίσκεται
χὠ δεινὸς ὅρκος καὶ περισκελεῖς φρένες. Soph. Aj. 646.

1024. Χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος,
κακὸν δὲ κἂν ἐν ἡμέρᾳ γνοίης μιᾷ. Soph. O R. 614.

1025. Πάντ' ἐκκαλύπτων ὁ χρόνος εἰς τὸ φῶς ἄγει.
Soph. fr. 832.

1026. Χρόνος δ' ἀμαυροῖ πάντα κεἰς λήθην ἄγει.
Soph. fr 868.

1027. Ὁ χρόνος ἅπαντα τοῖσιν ὕστερον φράσει,
λάλος ἐστὶν οὗτος, οὐκ ἐρωτῶσιν λέγει. Eur. fr. 112.

1028. Ὁ χρόνος ἁπάσης ἐστὶν ὀργῆς φάρμακον. Kritias fr. 2.

1029. Πάλιν χρόνῳ τἀρχαῖα καινὰ γίγνεται. Nikostratus fr. 30.

1030. Σκαιὸς τεχνίτης ἐστὶν ὁ χρόνος, ὦ ξένε·
χαίρει μεταπλάττων πάντας εἰς τὰ χείρονα.
Diphilus fr. 83.

1031. Πάντων ἰατρὸς τῶν ἀναγκαίων κακῶν
χρόνος ἐστίν· οὗτος καὶ σὲ νῦν ἰάσεται.
Menander fr 677.

LXXXIV. Zorn.

1032. Πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψεν
κρυπτόμενον, μανίας πουλὺ χερειότερον.
Euenus fr. 5.

1033. Ὀργῆς ζεούσης εἰσὶν ἰατροὶ λόγοι. Aesch. Prom. 378.

1034. Ὦ μῶρε, θυμὸς δ' ἐν κακοῖς οὐ ξύμφορον.
Soph. O. C. 592.

1035. Ἀλλ' οὐ γάρ, ὥσπερ εἶπον, ὀργαίνειν καλὸν
γυναῖκα νοῦν ἔχουσαν. Soph. Tr. 552.

1036. Θυμὸς μεγίστων αἴτιος κακῶν βροτοῖς. Eur. Med. 1080.

1037. Ὀργὴ γὰρ ὅστις εὐθέως χαρίζεται,
κακῶς τελευτᾷ· πλεῖστα γὰρ σφάλλει βροτούς.
Eur. fr. 31.

1038. Δυοῖν λεγόντοιν, θατέρου θυμουμένου,
ὁ μὴ ἀντιτείνων τοῖς λόγοις σοφώτερος. Eur. fr. 654.

1039. Ἔξω γὰρ ὀργῆς πᾶς ἀνὴρ σοφώτερος. Eur. fr. 760.

LXXXV. Zufriedenheit, Genügsamkeit.

1040. Ἀρκεῖσθαι παρ' ἑοῖς, τῶν δ' ἀλλοτρίων δ' ἀπέχεσθαι.
Hes. fr. 181.

1041. Ζηλῶ δ' ἀνδρῶν ὃς ἀκίνδυνον
βίον ἔξεπέρασ' ἀγνὼς ἀκλεής·
τοὺς δ' ἐν τιμαῖς ἧσσον ζηλῶ. Eur. I. A. 17.

1042. Ὁ πένης ἐλεεῖται, ὁ δὲ πλούσιος φθονεῖται·
ὁ μέσος δὲ βίος κεκραμένος δίκαιός ἐστιν·
αὐτάρκεια γὰρ πρὸς πᾶσιν ἡδονὴ δικαία.
Sotades (Stob. 103,13).

1043. Ὁ φθόνος οἰκτιρμοῦ, κατὰ Πίνδαρον, ἐστὶν ἀμείνων·
οἱ βασκαινόμενοι λαμπρὸν ἔχουσι βίον·

τοὺς δὲ λίαν ἀτυχεῖς οἰκτείρομεν, ἀλλά τις εἴην
μήτ' ἄγαν εὐδαίμων, μήτ' ἐλεεινὸς ἐγώ·
ἡ μεσότης γὰρ ἄριστον, ἐπεὶ τὰ μὲν ἄκρα πέφυκεν
κινδύνους ἐπάγειν, ἔσχατα δ' ὕβριν ἔχει.
Anth. Pal. 10,51.

1044. Οὐκ ἐθέλω πλουτεῖν, οὐκ εὔχομαι· ἀλλά μοι εἴη
ζῆν ἐκ τῶν ὀλίγων μηδὲν ἔχοντα κακόν.
Anth. Pal. 10,113.

LXXXVI. Zukunft.

1045. Ἀμέραι δ' ἐπίλοιποι
μάρτυρες σοφώτατοι. Pind. Ol. 1,33.

1046. Τῶν δὲ μελλόντων τετύφλωνται φραδαί. Pind. Ol. 12,9.

1047. Ἡ πολλὰ βροτοῖς ἔστιν ἰδοῦσιν
γνῶναι· πρὶν ἰδεῖν δ' οὐδεὶς μάντις
τῶν μελλόντων, ὅτι πράξει. Soph. Aj. 1418.

1048. Θνητὰ φρονεῖν χρὴ θνητὴν φύσιν,
τοῦτο κατειδότας ὡς οὐκ ἔστιν
πλὴν Διὸς οὐδεὶς τῶν μελλόντων
ταμίας ὅτι χρὴ τετελέσθαι. Soph fr. 531.